162. *παρέχειν χρή: συνουσιάζειν δηλονότι. τουτέστιν οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἄνευ ἡδονῆς.*

165. *ἀπεροῦσιν: ἀπαγορεύσουσιν καὶ παύσονται τοῦ πολέμου.*

166. *ἀντὶ τοῦ ἁρμόζῃ.*

170. *Ἀθηναίων. τὸν θόρυβον καὶ συρφετόν.*

171. *μὴ πλαδδιῆν: μὴ παραφρονεῖν.* L. *μὴ πολεμεῖν. μὴ πλησιάζειν.*

173. *οὐχ ἅς σποδᾶς: οὐκ ἂν ἄγοιεν εἰρήνην οἱ Ἀθηναῖοι, ἕως ἂν θαλαττοκρατῶσιν καὶ τὸ ἀργύριον τὸ ἄβυσσον ᾖ παρὰ τῇ θεῷ*

152 S *πλεκοῦν* 155 schol. Vesp. 714 155, 6 S *μῆλα* 158 S *κύνα δέρειν δεδαρμένην.* — Hinc Ps. Diogen. V 85 cf. Greg. Cypr. Mosqu. III 17 = S *ἐκδεδαρμένον δέρος* 165 S *ἀπεροῦντα* 170 S *ῥυάχετον* Phot. Hes. 171 S *πλαδδιῆν* 173 S *ἄβυσσος*

---

1 lemm om R *παρὰ τὸ* R: *ἤτοι* L 2 lemm om R *τὰ δὲ* — (3) *Ἰλιάδι* om R 3 *λέσχος πυραῖος* L Post *Ἰλιάδι* L add: *τὸ τοῦ Φερεκράτους* 4 *ἀλλ'* om L *εἶδε* L *εσίδες* R *Φίλημ' ἐδέξω* om L 6 lemm om R, qui *τοὺς — φησιν* ante *ἡ ἱστορία* (2) *μάσθους* R(S) 11 *ἄλλο* S: *ἄλλως* L *ἄλλα* Bergk. *αὖθις* add Dind. e Suida 12 lemm om R *ἐν δὲ τοῖς — εὑρίσκεται* L: *τὰ ἀπὸ τῶν ἄλλων λέγειν διὰ τὸ εἰρημένον Φερεκράτους· ἐν γὰρ τοῖς — εὑρίσκεται* R, omisso *Φερεκράτους* 14 *ὀλέσβω* L 18 lemm om R *δῆλόν ἐστι* L 20 lemm om R 21 *ἀντὶ τοῦ* om R *ἁρμόζει* L *ἁρμόζηται* R corr Wil 22 *τὸν* om L 25 lemm om R *ἄγοιμεν* L 26 *θαλαττοκροτῶσιν* L *θαλασσοκρατῶσιν* R *καὶ τὸ — ᾖ* R: *τὸ δὲ — ἦν* L

ἐν τῇ ἀκροπόλει. καὶ γὰρ ἀληθῶς ἀπέκειτο χίλια τάλαντα. ἤρξαντο οὖν κινεῖν αὐτὰ ἐπὶ Καλλίου ἄρχοντος, ἐφ' οὗ εἰσήχθη τὸ δρᾶμα, ὥς φησι Φιλόχορος ἐν Ἀτθίδι (FHG I 116).

ἀντὶ τοῦ σπουδῆς.

175. ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον: τὸ λαβεῖν τὸ ἀργύριον ἀπὸ τοῦ ἱεροῦ τῆς Θεοῦ.

179. Θύειν δοκούσαις: προσποιουμέναις Θύειν.

180. πάντα γ' ἔχοι: πάντ' ἂν ἔχοι καλῶς. καὶ τάδε γὰρ ἃ λέγεις καλῶς ἔχει.

183. ὡς ὀμιώμεθα: ἀντὶ τοῦ ὅπως ὀμόσομεν.

184. Σκύθαινα: τὴν ὑπηρέτιν λέγει. Σκύθας γὰρ καὶ τοξότας ἐκάλουν τοὺς δημοσίους ὑπηρέτας ἀπὸ τῆς ἀρχαίας χρήσεως.

188. ὥσπερ φασὶν Αἰσχύλος ποτέ: παρὰ τὰ Αἰσχύλου ἐν Ἑπτ' ἐπὶ Θήβαις (42)

„ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται.
ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος". L.

189. μηλοσφαγούσας: ἀντὶ τοῦ ταυροσφαγούσας μηλοσφαγούσας εἶπεν, εἰ μὴ ἄρα μῆλα πάντα τὰ τετράποδα.

191. εἰ λευκόν ποθεν ἵππον: πρὸς τὸ αἰδοῖον παίζει τὸ λευκὸν ἵππον. λευκὸν μέν, ὅτι φάλης τὸ αἰδοῖον λέγεται, φάλιον δὲ τὸ λευκόν· ἵππον δέ, ἐπεὶ καὶ κέλης λέγεται. ἢ παίζει κατὰ τὸν τύπον τῶν Ἀμαζόνων. γυναῖκες γὰρ οὖσαι λευκοὺς ἵππους ἔθνον.

195. κύλικα μεγάλην ὑπτίαν: παίζει. ἐπεὶ καὶ ἡ ἀσπὶς ὑπτία τίθεται.

196. Θάσιον οἶνου σταμνίον: ἐπιεικῶς λέγουσιν οἱ Ἀττικοὶ τὰ Θάσια κεράμια σταμνία.

197. μὴ πιχεῖν ὕδωρ: δέον εἰπεῖν, μὴ λύειν τὴν εἰρήνην, εἶπε μὴ ἐπιχεῖν ὕδωρ, ἀλλ' ἄκρατον πιεῖν, εἰς μέθην κωμῳδῶν τὰς γυναῖκας.

198. ἀντὶ τοῦ αφάτως.

184 S *Σκύθαινα* EM 761, 43 schol. Ach. 54 196 Phot. *σταμνία* Poll. X 72

1 *ἀπέκειντο* L *ἤρξαντο* — fin om R 2 *ἀπὸ* L 4 *τοῦ* om R 5 lemm om R 7 lemm om R 8 lemm om R *πάντα καλῶς ἔχει* (L^2 suprascr. *οι*) L *πάντα δ' ἔχει κ.* R corr Wil *ἃ* om R 9 *ἔχειν* R 10 lemm et *ἀντὶ τοῦ* om R *ὀμόσωμεν* LR corr Wil 11 lemm om R 13 *ἐν Αἰσχύλῳ* L corr Wil 17 lemm om R 19 lemm om R *πόνθεν* L *τὸ λευκὸν ἵππον* om L 20 *λευκὸς μὲν — (21) ἵππος δὲ* L 21 *κατὰ* R: *διὰ* L 23 lemm om R 24 *ἐτίθετο* L 25 lemm om R 26 *κεραμεία* L 27 lemm om R *εἶπεν* R 198—267 nulla scholia in L

200. ὡς μεγάλης οὔσης τῆς κύλικος παίζει.

201. ἡσθείη: χαρήσεται. S.

202. ἀντὶ τοῦ αἰδοίου. ἐπειδὴ οἱ ὀμνύοντες εἰώθασιν ἐφάπτεσθαι τοῦ ἱερείου.

205. ἀπορρεῖ. ταῦτα δὲ λέγει μιμουμένη τοὺς θυοσκόους. ταῦτα γὰρ ἐπέλεγον τοῖς θύμασιν εὐφημίας χάριν.

206. ἤδὺ προσόζει.

207. ἐπεὶ ἡ ὀμνύουσα πρώτη ἔμελλεν καὶ πρώτη πιεῖν, τοῦτό φησιν.

208. δηλονότι κλήρῳ.

209. πᾶσαι: αἱ Λάκαιναι.

211. ἐμπεδώσατε: ἀσφαλίσατε.

213. ταῦτά φησιν μία τις ὀμνύουσα, τῆς Λυσιστράτης προβαλλομένης τὸν ὅρκον.

216. εἰρηκυῖα τὸν ἕνα στίχον ἐπιμνησθεῖσα, ὅτι χωρίζεται τοῦ ἀνδρός, λέγει τὸ „ὑπολύεταί μου τὰ γόνατα".

217. οἷον ἀγνὴ καὶ ἄμικτος. ταῦρον γὰρ τὸ αἰδοῖον ⟨τοῦ ἀνδρὸς⟩ λέγουσι. ἢ ἄζευκτος γάμου καὶ ἀζυγής. καὶ βοῶπις ἡ Ἥρα ὡς Ζυγία καὶ Γαμηλία. ἐπεὶ οἱ ταῦροι κατωφερεῖς.

221. ἐπικαυθῇ καὶ πυρωθῇ ἐπ' ἐμοί.

227. συνουσιάσαι αὐτῷ δηλονότι. οὐ συντερφθήσομαι.

229. εἶδος ὑποδήματος. ἐκ δὲ τούτου τοὺς πόδας οὐκ ἀνατενῶ ἐν τῇ στέγῃ συνουσιάζουσα.

231. ἀντὶ τοῦ ὡς λέαινα, σχῆμα δέ ἐστιν ἀκόλαστον καὶ ἑταιρικόν. τυρόκνηστις δὲ μάχαιρα. ἐπὶ δὲ ταῖς λαβαῖς τῶν μαχαιρῶν ἐλεφάντινοι λέοντες γλύφονται ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπ' ἀνδρὶ στήσομαι πορνεύουσα, ὡς λέαινα ἐπὶ τυροκνήστιδος.

233. ἀντὶ τοῦ ἀσφαλῶς φυλάττουσα.

200 S *ἡσθείη* 202 S *κάπρος* 217 S *ταῦρος* et *ἀταυρώτη* Eust. 1554, 29 221 S et Hes. *ἐπιτυφῇ* Bachm. I 232 227 S *προυσκινήσομαι* 229 schol. Nub. 151 231 S *λέαινα* et *τυρύκνηστις* Phot. *λέαινα* et *τυροκν.* Hes. *λέαινα* EM 772, 9

1 *τὴν κύλικά φησιν, ἐπεὶ μεγάλη ἦν καὶ πλέα* S 3 *κάπρος: τὸ αἰδοῖον τοῦ ἀνδρὸς* S 5 *μιμημένη* R 8—11 Continuantur in R corr Wil 10 *ὅτι* R corr Duebn. 12 *ἐμπεδώσετε* R in textu 15 *εἰρηκῦα* R *ἐνμνησθεῖσα* R ut Martino videtur (213) in R post 216 corr Wil 17 *τοῦ ἀνδρὸς* addidi e Suida 18 *ἄγευστος* Valkenaer. anim. ad Amm. p. 41 19 *καὶ Ζυγία* RS corr Wil 20 *ἐν ἐμοί* R corr Dind. cf. S 23 *ἐς τὴν στέγην* Bl. ‚sed Byzantini *ἐν* et *εἰς* promiscue usurpant' Wil 27 *ἵνα μὴ* S (*λέαινα*)

237. *ἐρωτηματικῶς λέγει.* 238. *οἷον καίσω, καθιερώσω. κατάλειψόν μοι μέρος, ὅπως ἡ φιλία ἐντεῦθεν ἄρξηται.*

240. *ὁλολυξασῶν τῶν ἐν ἀκροπόλει γυναικῶν.*

244. *τὰ ἐν συνθέσει διδόμενα ἐνέχυρα ὁμήρους ἐκάλουν.*

τὰς θεραπαίνας φησί. 245. *τῇ ἀκροπόλει φησί.*

246. *συνέλθωμεν αὐταῖς, ὥστε τοὺς μοχλοὺς τοῦ ναοῦ ἐμβαλεῖν.*

247. *ἀντὶ τοῦ καθ' ἡμῶν.* 251. *ἐπὶ τῷ ποιῆσαι εἰρήνην.*

252. *ἀντὶ τοῦ μάτην.* 253. *ἀκαταμάχητοι καὶ δειναί.*

254. *χορὸς γερόντων ἢ Στρυμόδωρος.*

256. *ἄελπτα: ἀνέλπιστα, ἀπροσδόκητα.* S(*ἄελπτον*).

262. *κατέχειν τὸ ἅγιον βρέτας τῆς Ἀθηνᾶς.*

263. *ἀντὶ τοῦ καταλαβεῖν.* 265. *κλείειν, ἀσφαλίζεσθαι.*

266. *ἐὰν ᾖ Φιλοῦργε ὡς πανοῦργε, ὄνομα κύριον· ἐὰν δὲ ὀξυτόνως, ἐπίθετον.*

267. *τὰ στελέχη τῶν ξύλων.*

268. ⟨*ἀντὶ τοῦ*⟩ *ἔκριναν ποιῆσαι.* 269. *σωρεύσαντες.*

270. *ὑπὸ ψήφου μιᾶς: ἀπὸ μιᾶς γνώμης καὶ κρίσεως.*

τὴν Λύκωνος: [*τὴν*] *Ῥοδίαν λέγει οὕτω καλουμένην, τὴν Λυκόλυκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ' αἰσχροῖς κωμῳδουμένην. Εὔπολις Πόλεσιν* (215 K.) „*ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ*“.

272. *ἐπεγγελάσουσι.*

273. *Κλεομένης: Λακεδαιμόνιος ὢν στρατηγος ἐπιστρατεύσας τῇ Ἀττικῇ μετά τινων Ἀθηναίων ἐπὶ τυραννίδι τὴν ἀκρόπολιν κατέσχε. πολιορκηθεὶς δὲ ὑπὸ τῶν Ἀθηναίων καὶ ἀφεθεὶς ὑπόσπονδος, ἀπιὼν οἴκαδε πάλιν Ἐλευσῖνα κατέσχε. τῶν δὲ μετὰ Κλεομένους Ἐλευσῖνα καταλαβόντων Ἀθηναῖοι τὰς οὐσίας ἐδήμευσαν καὶ τὰς οἰκίας κατέσκαψαν, αὐτῶν δὲ θάνατον κατεψηφίσαντο καὶ*

238 S*καθαγίσω* Phot. Hes. 247 S*ἐφ' ἡμᾶς* 252 cf EM 68, 37 E. Gud. 38, 34 Eust. 1293, 22 253 Hes. *ἄμαχον* 254 EM 20, 23 265 S*πακτοῦν* Eust. 742, 43; 1532, 58 267 Hes. *πρέμνον* Tim. 222 EM 686, 34 E. Gud. 478, 39 Bk 293 Bachm. I 346 268 S*ἐνιστήσαντο* 269 EM 604, 57 Bachm I 308 270 S*ὑπὸ ψ. μ.*

1 Phot. add *συντελέσω* 4 *ὕμηρον* R 6 *βαλεῖν* R corr P 15 fortasse hinc S*πρέμνον: στέλεχος δένδρων* 16 Incipit L *ἀντὶ τοῦ* addidi e Suida 17 lemm om R *ὑπὸ* L 18 lemm om R *τὴν* del Wil 19 *μὲν* om R 20 *συνέρρει* L 22 *ἐπεγγελάσωσιν* R 27 *κατασχόντων* R 28 *τὰς οἰκ. κατ. καὶ τὰς οὐσ. ἐδ.* R *ἐψηφίσαντο* codd corr Bl

ἀναγράψαντες ἐν στήλῃ χαλκῇ ἔστησαν ἐν πόλει παρὰ τὸν ἀρχαῖον νεών.

275. *ἀπαθής, ἀτιμώρητος. — ἀψάλακτον γὰρ τὸ ἄθικτον. οὕτω Κράτης.* S.

276. *ἰσχυρόν. ἢ τὰ Λακώνων φρονῶν.*

277. ⟨*ἀντὶ τοῦ*⟩ *τῷ δήμῳ τὰ ὅπλα παραδούς.*

279. *ἀντὶ τοῦ δασὺς καὶ ἀκόσμητος τὰς τρίχας.*

ἄλουτος: χωρὶς τοῦ σ'. Ἀττικὴ σύνταξις. S (*ἐξέτει*).

282. *ἐφ' ἑπτακαίδεκ' ἀσπίδας: ὅτι τὰς τάξεις ἀσπίδας ἔλεγον, καὶ αὐτὸς πάλιν Ἀριστοφάνης ἐν Βαβυλωνίοις* (66 K.) „*ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας*“. *ἐπὶ τάξεσιν ἑπτακαίδεκα καθεύδων, ὥστε τὸ βάθος τῆς φρουρᾶς ἑπτακαίδεκα κατέχειν ἀσπίδας.*

283. *τασδὶ δὲ τὰς Εὐριπίδῃ: τὰς γυναῖκας. μισογύνης γὰρ ὁ Εὐριπίδης καὶ πολλὰ κατ' αὐτῶν λέγει.*

284. *τολμήματος: ἐκείνου περιεγενόμην, τῶν δὲ γυναικῶν τοῦ τολμήματος οὐ περιγίνομαι;*

285. *μή νυν: παροξυτόνως ἀντὶ τοῦ μὴ δή. τρόπαιον δὲ τὸ ἐν Μαραθῶνι τὸ κατὰ Περσῶν. ἡ γὰρ Μαραθὼν τῆς Τετραπόλεως μέρος. τὰ δὲ λοιπὰ Οἰνόη, Προβάλινθος, Τρικόρυθος.*

286. *ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ: ἀντὶ τοῦ πλησίον γεγόναμεν τῆς ἀκροπόλεως. καὶ οὗτός ἐστιν ὁ μεταξὺ ὀλίγος τόπος ὁ λειπόμενος.*

288. *τὸ σιμὸν, οἱ σπουδὴν ἔχω: τὸ πρὸς τὴν ἀκρόπολιν. τὸ σιμὸν ὄνομα χωρίου περὶ τὴν ἀκρόπολιν. τὸ σιμὸν ἀντὶ τοῦ πρόσαντες. καὶ ἐν Βαβυλωνίοις* (74 K.) „*μέσην ἔρειδε πρὸς τὸ σιμόν*“. *καὶ Πλάτων ἐν Νίκαις* (79 K.) „*τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ*“.

275 S*ἀψάλακτος* et *διαψαλάττεσθαι* cf Bk 475 Hes. 276 S*Λακωνικὸν πνέων* 279 S*ἀπαράτιλτος* 288 S*σιμός* Phot. Hes. EM 125, 51 Bachm. I 364

1 *εἰς στήλην χαλκῆν* R 6 *ἀντὶ τοῦ* addidi e Suida 7 *ἄκοσμος* RS schol. in R ante *ἐπὶ τάξ.* (11) *τρύχας* L 9 lemm om R 10 *πάλιν* om R 11 *ἄλλως* L^{2} in marg. add *ιζ* R 12 *ὡς τὸ β.* L 13 R addit: *καὶ γὰρ τὰς τάξεις ἀσπίδας ἔλεγον* 14 lemm et *τὰς γυν.* om R 15 *λέγων* L 16 lemm om R 17 *περιγένωμαι* L 18 *παροξυτόνως* et *τοῦ* om R 19 *ἡ γὰρ M.* — fin om R 20 *Προβόλινθος* L corr Dind. cf St. B. pp. 535, 618 *Τρικόρινθος* L corr Dind. cf St. B. 21 lemm et *ἀντὶ τοῦ* om R 22 *ἐστιν* om L *ὀλίγος* bis in L 24—27 R: *ἀντὶ πρόσαντες ἦν ὄνομα χωρίου* (interl.). *σιμὸν ὄνομα χωρίου περὶ τὴν ἀκρόπολιν*, rel om 25 *περὶ* R: *τὸ πρὸς* L 26 *πλατὺ* L corr Elmsl. 27 *ἀεί* L corr Elmsl.

289. ἐξαμπρεύσομεν: τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν ἀμπρεύειν λέγεται. καὶ ἄμπρον τὸ διῖκον σχοινίον.

290. κανθηλίου: ἕλξομεν τὸ ξύλον τοῦτο ἄνευ ὄνου.

291. ἐξεπιώκατον: θλίβουσιν, ἢ ἐθλίψατον. τὼ ξύλω δὲ δυϊκῶς.

293. φυσητέον: ἐν χύτρᾳ πῦρ εἶχον δι' ἀνθράκων.

294. μὴ μετὰ τὸ διελθεῖν τὴν ὁδὸν σβεσθῇ.

φυσᾷ τῷ στόματι. τοῦτο δὲ παρεπιγραφή.

298. τὼ ᾽φθαλμὼ δάκνει: δάκνει μου τοὺς ὀφθαλμοὺς ὥσπερ κύων. παρὰ τὰς λήμας δὲ τὸ Λήμνιον πέπαιχεν. ἔστι δὲ παρὰ τὴν παροιμίαν, Λήμνιον κακόν, παρὰ τὰς Λημνιάδας γυναῖκας.

299. Λήμνιον τὸ πῦρ: ἀντὶ τοῦ πάνυ γενναῖον, ἢ ἀπὸ τῶν Λημνίων γυναικῶν, πορνῶν οὐσῶν, ἢ ἀπὸ τῶν καμίνων τοῦ Ἡφαίστου. L.

300. πάσῃ μηχανῇ: ἀντὶ τοῦ κατὰ πάντα τρόπον.

301. ἔβρυκε τὰς λήμας: λήμας νῦν τοὺς ὀφθαλμούς. ἔστι δὲ κυρίως ἡ τῶν ὀφθαλμῶν ἀκαθαρσία. L.

302. ὡς πρός τινα λέγει. 304. φυσᾷ πάλιν.

307. εἰ τὼ μὲν ξύλω: δυϊκῶς πάλιν τὼ ξύλω. λέγει δὲ ἃ ἐβάσταζε ξύλα.

308. τὸν φανὸν ἐγκαθέντες: φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις (375 K.) φησί.

309. κριηδὸν: δίκην κριοῦ. κριὸς γὰρ χαλκοῦν μηχάνημα, ὃ τοῖς τείχεσι προσφέρουσιν οἱ βάρβαροι. — τραχέως. L.

312. θώμεθα: τὰ ξύλα δηλονότι. R.

φρεῦ τοῦ καπνοῦ: ὑπὸ τοῦ καπνοῦ ἀδικούμενος τοῦτό φησιν.

313. τῶν ἐν Σάμῳ στρατηγῶν: Δίδυμος (Schm. p. 258) καὶ Κρατερός (FHG. II 11) φασι ταῦτα αἰνίττεσθαι εἰς Φρύνιχον τὸν

289—90 S ἀμπρεύοντες EM 86, 29 Eust. 623, 38 291 S ἐξεπιώκατον 298 Zenob. IV 91 (I 19 Mill.) 299 Eust. 158, 12; 980, 61 300 S πάσῃ μηχανῇ 301 Hes. λήμη cf. schol. Plut. 581 308 Hes. 313 cf. Cobet. Mnemos. NS I p. 125.

1 lemm om R 2 ἄμπρος L σχοινίου L 3 sch. in L interl. 4 ὁδοῦ θλίβουσι R ἢ ἐθλ. om R δὲ om L 5 lemm om R 7 τοῦτο δὲ παρεπ. om R 8 lemm om R 9 δὲ prius om R λίμνας L πέπαιχας L 10 κακὸν Λήμνιον L 14 lemm et ἀντὶ τ. om R κατὰ παντὸς τρόπου S 18 lemm et δὲ ἃ om R 20 lemm om R φαινόμενον L 22 S addit διὸ λέγεται φανὸς ἀμπέλου 23 lemm om R κριὸν γὰρ R χαλκοῦ L ὃ om R 24 προφέρουσιν L 25 in R post 26 26 lemm om R 28 κάρτερος LR κράτερος B ταῦτὰ φασι ταῦτα L φησι ταῦτα R corr Dind.

Σιρατωνίδου. ἐκακοηθεύσατο γὰρ πρὸς τὸν δῆμον ἐν Σάμῳ στρατηγῶν· ὥστε ἐψηφίσατο κατ' αὐτοῦ ὁ δῆμος δημόσια εἶναι τὰ Φρυνίχου χρήματα καὶ τῆς θεοῦ τὸ δέκατον μέρος, καὶ τὴν οἰκίαν κατεσκάφθαι αὐτοῦ. καὶ ἄλλα πολλὰ κατ' αὐτοῦ ἔγραψεν ἐν στήλῃ χαλκῇ. καὶ ἐν Βατράχοις (689)

„κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν".

Ἄλλως. οἱ ἐν Σάμῳ στρατηγοῦντες ἐδυστύχησαν πάνυ. λέγει οὖν, τίς ἐκείνων συλλάβοιτο τοῦ ξύλου, ἵνα πλέον δυστυχήσῃ.

314. ὡς ἀποθέμενος λέγει τὰ ξύλα.

317. σύνελθε. ἐν τῇ ἀκροπόλει. 318. κατὰ τῶν γυναικῶν.

320. ὥσπερ πυρὸς καομένου: γυναῖκές τινες ὑδροφοροῦσαι παρακελεύονται ἀλλήλαις. αἱ δὲ λοιπαί εἰσιν ἐν τῇ ἀκροπόλει.

321. πέτου πέτου: νῦν ἐστιν ἡμιχόριον τὸ λέγον ἐκ γυναικῶν εἰσερχομένων ἄνωθεν, ἵνα καὶ τὸ ὕδωρ αὐτῶν καταχέωσιν ἄνωθεν. τὸ δὲ ἄλλο ἡμιχόριον ἐξ ἀνδρῶν κάτωθεν ἐπερχομένων ταῖς ἐν τῇ ἀκροπόλει εἰς πολιορκίαν.

ὀνόματα γυναικῶν τῶν ἐν τῇ ἀκροπόλει.

323. λείπει πυρί. R.

326. μῶν ὑστερόπους: μὴ ὕστερον τοῦ καιροῦ ἦλθον εἰς τὸ βοηθῆσαι.

327. ἀρτίως.

κνεφαία: ὀρθρία. ἢ ἀόρατος. ἢ ἑσπερία.

329. καὶ πατάγου χυτρείου: ἀντὶ τοῦ κεραμέου ἐκ μέρους τὸ πᾶν· οὐ γὰρ χύτραις βάπτουσι. συντρίβεται δὲ τὰ κεράμια παρὰ ταῖς κρήναις.

330. ὠστιζομένη: ὠθουμένη, στενοχωρουμένη. στιγματίαις δὲ δούλαις. ἀπὸ τοῦ στίζεσθαι.

332. ἀραμένη: ⟨ἀντὶ τοῦ⟩ ἐπάρασα τὴν ὑδρίαν.

335. τετυφωμένους γέροντας. 336. ἐπέρχεσθαι. ξύλα.

317 S ξυγγενοῦ 326 S μῶν 327 S νῦν δή: ἀρτίως ἢ μικρὸν ἔμπροσθεν id. κνεφαῖος: σκοτεινός, ἀόρατος, ὀρθρία, ἑωθινή Eust. 174, 4 329 S πατάγου χυτρείου 330 S ὠστιζομένη Hes. schol. Ach. 330 332 S ἀράμενοι 335 S τυφογέρων EM 772, 56 Bk 66

3 τοῖς θεοῖς L 4 κατακεκάφθαι L κατ' αὐτοῦ om L 6 τι R:τε L 8 πλεῖον L 11 τινες om L ὑδροφοροῦσα L 12 ἀλλήλας R 13 lemm om R ἔσται R 17 ὄνομα R 19 lemm om R ὕστερος L 22 lemm om R, qui ante ὀρθρία ins. ὑδρίαν 23 lemm om R 24 οὐ γὰρ χύτρας βάπτουσι in fin. schol. RS 26 lemm om R στιγμ. δὲ om R 28 ἐπάρα L ἀντὶ τοῦ addidi e S 28 ὑπερήφανος, τετυφωμένος γέρων S σπέρχεσθαι L

ἀντὶ τοῦ ἤκουσα ἐπέρχεσθαι ξύλα φέροντας. S. (ἔρρει).

337. ὥσπερ βαλανεῖον ὑποκαύσοντας.

338. εἰς τὴν ἀκρόπολιν. ὡς τριῶν ταλάντων βάρος.

341. πρὸς τὴν Ἀθηνᾶν εὔχεται. κατὰ κοινοῦ τὸ ἴδοιμι.

345. τὸν ναόν σου κατέλαβον.

349. ἀντὶ τοῦ ἐπικουρεῖν ἡμῖν καὶ συσβεννύειν.

350. μοχθηροί. 353. ⟨ἀντὶ τοῦ⟩ μάχεται. RS.

354. τί εὐτελίζετε. ἢ φοβεῖσθε καὶ τρέμετε.

357. περικατάξαι αὐταῖς τὸ ξύλον.

360. εἰ νὴ Δία: εἴ τις ἠπείλησε τύπτειν καθάπερ Ἱππῶναξ τὸν Βούπαλον. L.

364. ἐκκοκκιῶ: οἷον αἱματώσω, ἐκβαλῶ· ἡ μεταφορὰ ἀπὸ τῶν ῥοιῶν. — ὡς πρὸς τὰς γραίας ὁ τῶν γερόντων χορός. R.

365. ἀντ' ἐμοῦ. 367. ἐσθίουσα, δάκνουσα.

οἷον ἐξοίσω ἐξώσω.

368. οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου: ὅτι κατὰ γυναικῶν εἶπε. φησὶ γὰρ (Med. 409) „κακῶν δὲ πάντων τέκτονες σοφώταται".

370. ἵνα σβέσωμεν τὸ πῦρ.

372. ὦ τύμβε: ὡς πρὸς γέροντα εἶπεν. ἀντὶ τοῦ ὦ ταφῆναι ἄξιε.

376. οὐκ οἶδά σ' εἰ τῇδ' ὡς ἔχω: οὐκ οἶδα ἐγώ, εἰ ταύτῃ σε τῇ λαμπάδι ὀπτήσω. κυρίως δὲ σταθεύειν τὸ μὴ λίαν κατοπτᾶν, ἀλλὰ τῷ πυρὶ ἡσύχως χλιαίνειν τὸ κρέας. καὶ ἐν Ἀχαρνεῦσι (1041) „τὰς σηπίας σταθεύσω". τὸ παρὰ μικρὸν οὖν καίειν σταθεύειν λέγεται.

377. ῥύμμα: τὸ παρ' ἡμῖν σμῆγμα ἢ νίτρον. ἢ ῥύμμα ἀντὶ τοῦ ῥύπον.

378. καὶ ταῦτα νυμφικόν: περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί (57 K.) φησι καὶ ἐν Ὑποβολιμαίῳ (496 K.). ἐκ δὲ τοῦ ἐναντίου εἰς γέροντα εἶπε νυμφικόν.

338 S τριτάλαντον βάρος Eust. 1967, 33 354 S βδύλλετε 364 cf. sch. 448 schol. Pac. 63 (unde S) 367 S βρύκουσα EM 215, 47 E. Gud. 116, 49 sch. Av. 26 Bk. 30 Hes. 367, 15 S ἐξαμήσω 376 σταθεύειν Phot. Hes. schol. Eccl. 126 377 Hes. Bachm. I 360 Moer. 208, 27 (Bk) Tim. 229 sch. Ach. 17

2 ὑποκαύσαντας R 3 ὡς om RS τριῶν ταλ. βαρ. in R ante εἰς τ. ἀ. 4 τὸ om R 5 post κατέλ. add του L 6 ἐσβεννύειν L 7 ἀντὶ τοῦ addidi e Suida 10 Ἱππάναξ L 12 lemm et οἷον αἱματώσω om R ἐκβαλλῶ L 14 δάκνουσα ἐσθίουσα R 15 οἷον om L ἐξανύσω ἐξοίσω RS 16 lemm om R 18 σκευάσωμεν L 19 lemm om R ὦ om R 376—404 scholia nulla in R 21 semper σταθμεύειν L 23 τὸ γὰρ μικρὸν L corr Wil 26 ἢ νίτ L, in marg. L² ἢ νίτρου 28 Κρήτη L corr Albertus

379. πρὸς ἑταῖρον αὐτοῦ.

380. ἡλιάξεις: δικάσεις. καὶ Ὅμηρος (Α 232) „νῦν ὕστατα λωβήσαιο". φονεύσω γάρ σε.

381. σὸν ἔργον ὠχελῷς: τὸ ὕδωρ ἅμα καταχέουσι· ταῖς κάλπισι δὲ παρακελεύονται.

382. μῶν θερμὸν ἦν: καταχέουσα αὐτοῦ τὸ ὕδωρ λέγει.

384. ἄρδω σ' ὅπως: ποτίζω σε, ἵνα νεάσῃς, ἐπεὶ γέρων ἦν. τὸ γὰρ ὕδωρ αὔξει τὰ φυτά.

385. ἀλλ' αὐός εἰμι: ἀπὸ τοῦ ὕδατος δηλονότι τρέμει ὁ γέρων.

386. θερμανεῖς.

387. ἐξέλαμψεν: ἐφανερώθη ἡ ἀταξία καὶ ἡ κακία τῶν γυναικῶν. πρόβουλοι δὲ τάγμα ἐν Ἀθήναις. εἷς οὖν αὐτῶν ἔρχεται.

388. χὠ τυμπανισμός: ὃ βούλεται δηλῶσαι τοῦτό ἐστιν, ὅτι οὗτός ἐστιν ὁ τυμπανισμὸς καὶ ὁ Ἀδωνισμός, οὗ ἤκουον ἐν τῇ ἐκκλησίᾳ. τοῦτο δὲ ἔλεγεν ἐν τῇ ἐκκλησίᾳ ὁ Δημόστρατος, πλεῖν εἰς Σικελίαν. ἐν δὲ τῷ αὐτὸν λέγειν γυνή τις τὸν Ἄδωνιν ὀρχουμένη αἰ αἰ φησιν ὑμνοῦσα. αὐτῆς δὲ ὀρχουμένης ὁ Δημόστρατος, ἔτι ἐν τῇ ἐκκλησίᾳ ὑπάρχων, ἔλεγε καταλέγειν Ζακυνθίων ὁπλίτας. πάλιν δὲ ἡ γυνὴ ἐν γειτόνων ἐπὶ τοῦ τέγους πεπωκυῖα ἔλεγε „κόπτεσθε τὸν Ἄδωνιν". ὁ δὲ Δημόστρατος ἐβιάζετο ἐξ αὐτῶν θρυλουσῶν καὶ μὴ ἐωσῶν αὐτὸν δημηγορεῖν.

Σαβάζιοι: οἱ ὀργιασμοὶ τοῦ Σαβαζίου, ὃν οἱ μὲν τὸν αὐτὸν τῷ Διονύσῳ ὑπειλήφασι· τυχεῖν δὲ τῆς προσηγορίας ταύτης διὰ τὸν γινόμενον περὶ αὐτὸν εὐασμόν. τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν ἔλεγον. ὅτι δὲ εἷς ἐστιν [ὁ] θεὸς Σαβάζιος καὶ Διόνυσος πολλοὶ μαρτυροῦσι κωμικοί.

389. ὅ τ' Ἀδωνιασμός: ἑορτὴν γὰρ ἐπετέλουν τῷ Ἀδώνιδι αἱ γυναῖκες καὶ κήπους τινὰς εἰς τὰ δώματα ἀνέφερον. τινὲς δὲ ἐκ τούτου τὸ δρᾶμα Ἀδωνιαζούσας ἐπιγράφουσιν οὐ καλῶς. παρὰ πολλοῖς δὲ ὀργιάζονται αἱ γυναῖκες θυσίας οὐ δημοτελεῖς οὐδὲ τεταγμένας.

384 Etym. Gud. 74, 45 sch. Equ. 114 386 EM 812, 26 388, 25 cf. Hes. Σαβάζιος EM 707, 14 schol. Av. 874 sch. Vesp. 9

6 ἡ ἐπιχέουσα L corr Wil 12 προβούλευμα L corr Wil 15 τοῦτο] f. τότε Enger, τοῦτο δὲ ἐκκλησίᾳ ποτέ, ἐπεὶ Bl 18 πάντας L corr Dind. ex v. 394 19 πεπτωκεῖα L corr Duebn. κόπτεσθαι L corr Wil 21 ἐουσῶν L 25δ del Bl 27 ἀδωνισμός L 30 θεοὺς — τεταγμένους L corr Meineke fr. Com. I 472

392. *ὡς Σικελίας πολεμούσης αὐτοῖς.* *ἡ ἐν γειτόνων.*

394. *Ζακυνθίων: ἔθνος περὶ τὴν Κεφαληνίαν, σύμμαχον Ἀθηναίων.*

395. *ἡ δ' ὑποπεπωκυῖα: ὁ μὲν καιέλεγεν στρατιώτας εἰς πόλεμον, ἡ δὲ ἐπόρνευε.*

396. *ὁ δ' ἐβιάζετο: ὑπὸ τῶν γυναικῶν. ἐξηνάγκαζε τὴν φωνὴν αὐτοῦ, ὥστε ἐξακουσθῆναι ἐν τῇ ἐκκλησίᾳ, τοσούτου ὄντος ψόφου τῶν γυναικῶν ἐπὶ τοῖς δώμασιν.*

397. *Χολοζύγης: Δημόστρατος Βουζύγης ἐλέγετο, ὃν Χολοζύγην εἶπε διὰ τὸ μελαγχολᾶν. καὶ Εὔπολις δὲ ἐν Δήμοις* (97 K.) *ὡς μανιώδη αὐτὸν εἰσάγει „τί κέκραγας ὥσπερ Βουζύγης ἀδικούμενος;“ καὶ ἄλλοι.*

402. *ἵνα ἀποβάλωνται τὸ ὕδωρ.*

403. *τὸν ἁλυκόν: τὸν θαλάσσιον. τινὲς δὲ ὑπονοοῦσιν ἀπὸ πόλεως Πελοποννησίων Ἁλύκου, ἔνθα τιμᾶται ὁ Ποσειδῶν.*

404. *ξυμπονηρευώμεθα: ὁρῶντες αὐτὰς πονηρὰ πραττούσας ἀνεχώμεθα.*

407. *οἵτινες ἡμεῖς.* *εἰς τὰ τῶν δημιουργῶν.*

408. *ἀντὶ τοῦ „⟨τοῦ⟩ ὅρμου“ Ἀττικῶς. ὡς πρός τινα ἀπό τινος.*

410. *βάλανος: ἡ περόνη. ταῦτα δὲ πάντα εἰς τὸ κακέμφατον λαμβάνεται.*

412. *παντὶ τρόπῳ.*

413. *τὴν βάλανον: δύο ἐννοίας ἔχει, τοῦ αἰδοίου καὶ τοῦ ψελίου.*

417. *τὸ δακτυλίδιον πιέζει τὸν ζυγόν: μέρος τοῦ σανδαλίου. ἀντὶ τοῦ ὑπὸ τοῦ ζυγοῦ ὁ δάκτυλος ἁπαλὸς ὢν πιέζεται θλιβόμενος. νῦν δὲ ἀμφιβόλως εἴρηκεν. ζυγὸς δὲ καλεῖται ὁ περικείμενος τοῖς γυναικείοις σανδαλίοις ἱμὰς κατὰ τοὺς δακτύλους πρὸς τὸ συνέχειν ἐζυγωμένον τὸν πόδα.*

419. *καὶ τοῦτο εἰς τὸ κακέμφατον.* 420. *εἰς τὰς νῦν ὕβρεις.*

403 EM 70, 43 412 S*πάσῃ μηχανῇ* Phot. 413 S*βάλανον* 417 S*ζυγός* Phot. Hes. Poll. VII 81 Eust. 956, 4

---

2 *σύμμαχος* L 4 *ὑποπεπτωκυῖα* L 6 post *γυναικῶν* interpunxit Wil 8 *ἐν τοῖς δ.* L corr Wil 9 *Φιλόστρατος* L¹; L² suprascr. *δημο* 10 *μελαγχαλᾶν* L *δήμῳ* L 11 *αὐτὸς λέγει* L corr Meineke fr. C. II 474 15 *ἁλυκοῦς* L corr Dind. e St. B. v. *Ἅλυκος* (cf. Moeris 189, 1; Bk. 383) 16 *ὁρῶντας* L¹ corr L² 17 *ἀνεχόμεθα* L corr Enger. 18 incipit R 19 *τοῦ* add Wil 20 lemm om R 22 *ἐκ παντὸς τρόπου* S Phot. 23 lemm om R *τὸν* L corr P *ψελλίου* L 24 lemm om R 25 *τοῦ* posterius add L² 26 *ζυγὸς γὰρ* L 28 *ἐξαγόμενον* L 29 *καὶ τοῦτο εἰς* R: *πρὸς* L

421. *ἐκπορίσας: συλλέξας.* *πρόβουλοι πρὸς τοῖς οὖσι δέκα ἠρέθησαν ἄλλοι κ', εἰσηγησόμενοι τὰ δοκοῦντα βέλτιστα τῇ πολιτείᾳ μετὰ τὴν ἐν τῇ Σικελίᾳ συμφοράν.*

422. *κωπηλάται.* L. *ἀντὶ τοῦ δέοντος.*

426. *πρός τινα λέγει τῶν δημοσίων ὑπηρετῶν.*

427. *ὡς μεθύσῳ λέγει.* 434. *ἀντὶ τοῦ δῆσον.*

437. *ὡς τοῦ δημοσίου φεύγοντος.*

439. *νὴ τὴν Πάνδροσον: θυγατέρες Κέκροπος Πάνδροσος καὶ Ἄγραυλος καὶ Ἕρση. ἐκ τῆς Πανδρόσου δὲ καὶ ἡ Ἀθηνᾶ Πάνδροσος καλεῖται. — τῇ Λυσιστράτῃ.* L.

443. *νὴ τὴν Φωσφόρον: τὴν Ἄρτεμιν οὕτως ἐκάλουν, ἐπεὶ δαδοῦχος. ἡ αὐτὴ γὰρ τῇ Ἑκάτῃ. — ἢ ἐπεὶ καὶ τῇ σελήνῃ ἡ αὐτή.* R.

444. *κύαθον αἰτήσεις: ἵνα προσθῇς ταῖς γνάθοις· οὕτως ὑπωπιασθήσῃ ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι καὶ θεραπεύεται.*

447. *νὴ τὴν Ταυροπόλον: οὕτω τὴν Ἄρτεμιν ἐκάλουν. τὴν δὲ αἰτίαν Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἐκτίθεται. ἔστι δ' ὅτε καὶ τὴν Ἀθηνᾶν οὕτω καλοῦσιν, ὡς Ξενομήδης ἱστορεῖ* (FHG II 43).

Ταυροπόλον: τὴν Ἄρτεμιν, ὅτι ὡς Ταῦρος περίεισι πάντα, ὡς Ἀπολλόδωρος. Ἴστρος δ' ἐν γ' Ἀτάκτων, ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἐξοίστρησεν ἐπὶ πᾶσαν γῆν. οἱ δὲ ὅτι ἔβαλε, διὸ καὶ ταυροβόλον. καὶ Ἀθηνᾶ δὲ ταυροβόλος ἐν Ἄνδρῳ· ὁ γὰρ Ἄνιος δοὺς ταῦρον τοῖς Ἀτρείδαις ἐκέλευσεν, ὅπου ἂν ἐκ τῆς νεὼς ἅλληται, ἱδρύσασθαι Ἀθηνᾶν, καὶ οὕτως εὐπλοήσειν. ὁ δ' ἐν Ἄνδρῳ ἐξήλατο. S.

Ταυροπόλον: τὴν Ἄρτεμιν, ὅτι ὡς ταῦρος περίεισι πάντα· ἢ ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἐξοίστρησεν ἐπὶ πᾶσαν γῆν· ἢ ὅτι ἡ Ἰφιγένεια φυγοῦσα ἀπὸ Σκυθίας ἐν Ἀττικῇ ἱδρυσαμένη τὸ ἄγαλμα ταυροπόλον Ἄρτεμιν προσηγόρευσεν, ἐπειδὴ

421 S*ἐκπορίσας* et *πρόβουλοι* Harpocr. *συγγραφεῖς* 434 S*δεῖ* 443 schol. Plut. 594 444 S*κύαθος* 447 Phot. cf. Preller-Robert, Griech. Myth. I 313

---

1 *συλλ.* interl. in R *πρόβ. δὲ πρὸς* L *πρὸς τοῖσδε* LR *πρὸς τοῖς οὖσι* S corr Schoell. in Comm. Momms. 467 2 *διηρέθησαν* R *βέλτιστα* om RS 3 *μετὰ* R: *κατὰ* L, ex quo, non vidi *τῇ* om RS 4 *ἀντὶ τοῦ* om R 5 *λέγει* om R 6 *ἀντὶ ὡς* R *τοῦ* om R 8 lemm om R *Πάνδρ. κ. Ἄγρ. κ. Ἕ.*: *Πάνδροσος καὶ Ἀγραύλη* LR corr Bl cf. schol. Thesm. 533; *Π. κ. Ἄγλαυρος* Brunck. 9 *καὶ* om R 11 lemm om R 12 *γὰρ* om L 13 lemm om R *προσθήσῃς τοῖς* L *οὕτως — ἡμῶν* om L 14 *ὑποπιασθήσῃ* R *ὑπωπιασθήσῃ καὶ τυφθήσῃ* S 15 *οἰδήμουσι* L¹ corr L² *θεραπεύουσι* S 16 lemm om R *οὕτω* L: *Ταυροπόλον* R 17 *δ' ὅτε καὶ* L: *καὶ ὅτε καὶ* R

ἐκ τῶν Ταύρων τοῦ ἔθνους ἦλθεν. οἱ δὲ λέγουσιν, ὅτι τῶν Ἑλλήνων βουλομένων ἀνελεῖν τὴν Ἰφιγένειαν ἐν Αὐλίδι, ἡ Ἄρτεμις ἀντέδωκεν ἔλαφον· κατὰ δὲ Φανόδημον ἄρκτον· κατὰ δὲ Νίκανδρον ταῦρον· διὸ καὶ τὴν θεὸν οὐ ταυροπόλον, ἀλλὰ ταυροφόνον ὠνόμασαν. EM 747, 51.

448. *ἐκκοκκιῶ: ἐκτιλῶ, ἀνασπάσω ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν. στενοκωκύτους δὲ ἐφ' αἷς στενάξεις τιλλόμενος.*

451. *ὦ ὑπηρέται.*

453. *ὅτι καὶ παρ' ἡμῖν εἰσι: παρὰ ταῖς γυναιξὶν ὑπάρχουσι ⟨δ'⟩ λόχοι. τοῦτο δέ φησιν, ὅτι καὶ παρὰ Λακεδαιμονίοις τέσσαρες ὑπάρχουσιν λόχοι, οἷς κέχρηται ὁ βασιλεύς.*

τέτταρες λόχοι: ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. λόχοι γὰρ οὐκ εἰσι τέτταρες ἐν Λακεδαιμονίᾳ, ἀλλὰ ε', Ἔδωλος, Σίνις, Ἀρίμας, Πλόας, Μεσοάτης. ὁ δὲ Θουκυδίδης ζ' φησί, χωρὶς τῶν Σκιριτῶν. L.

457. *λεκιθολαχανοπώλιδες: ᾠὰ γὰρ πωλοῦσι καὶ λάχανα καὶ ὄσπρια.*

461. *ὡς ἤδη κειμένων αὐτῶν.* R. *παύσασθ', ἐπαναχωρεῖτε: τοῦτο ὡς τῶν ἀνδρῶν πεφευγότων.*

462. *οἴμ' ὡς κακῶς πέπραγέ μου: ἀντὶ τοῦ ἡττήθησαν καὶ ἠτύχησαν οἱ σύμμαχοί μου.*

466. *ἐάνπερ πλησίον κάπηλος ᾖ: ἔπαιξε διὰ τὸ φίλοινον, ὅτι πιοῦσαι παροινοῦσιν.*

470. *νίτρου, ἢ ῥύπου. — μὴ κεκονιμένοις ὥστε λοῦσαι.* R.

472. *κυλοιδιᾶν ἀνάγκη: τὰ περὶ τὸν ὀφθαλμὸν μέρη κοῖλα οἰδεῖν καὶ παρὰ Θεοκρίτῳ* (I 38) *„δηθὰ κυλοιδιόωντες". — τὴν ὄψιν οἰδεῖν.* R.

474. *μηδὲ κάρφος κινεῖν: ἐπὶ τοῦ ἡσύχου.* S.

448 S *στενοκωκύτους τρίχας* cf. sch. 364 schol. Pac. 63 453 S *λόχος* (exscr. sch. Ach. 1074, unde pendet nostrum) Phot. Hes. 457 S *ὦ σπερματολαχ.* cf. schol. Plut. 427 470 S *κονία* 472 S *κυλοιδιόων* Eust. 1951, 19 Bachm. I 285

6 *ἐκτιλῶ* S: *ἀνατιλῶ* L om R 7 *στενοκωκύτους δὲ* om R *στενάζεις* LS *τιλλομένη* S 9 lemm om R 10 *δ'* in R esse Dind. videbatur *ὑπάρχουσι δ'* R 13 *οὐκ* R: *οὐν* L 14 *μεσσοάγης* L corr O. Müller Dor. II 238 cf. schol. Thuc. IV 8 15 *νικωριτῶν* L corr Dind. ex Thuc. V 68; cf. Valken. ad Herod. IX 53; O. Müller Dor. II 233 16 lemm om R *γὰρ* om L *πωλοῦσαι* L *ἐπώλουν* S 17 *ὄσπρεα* R 18 lemm et *τοῦτο* om R 20 lemm om R *ἡττήθησαν* L^2 ex quo, non vidi 22 lemm om R *ἔπαιξε* L 23 *πίνουσαι* LR corr Wil 25 lemm om R 25—26 *ὅτι οἰδεν* (*οἰδεῖ* recte Duebn.) *τὰ περὶ τῶν ὀφθαλμῶν μέρη κοῖλα* R 26 *κυλοιδιοωντας* L *κοιλιδιοωντες* R

475. *ὥσπερ σφηκιάν: ἀπὸ τῶν μελιττῶν μετενήνοχε. βλίττειν γὰρ κυρίως τὸ ἐκπιέζειν μέλι.* *ἐρεθίσῃ: κινήσῃ.* L.

477. *τοῖσι κνωδάλοις: τοῖς θηρίοις. κυρίως δὲ τοῖς θαλαττίοις. κινώδαλα γὰρ τὰ ἐν τῇ ἁλὶ κινούμενα. καταχρηστικῶς καὶ Ὅμηρος „κνώδαλον ὅττι δίοιτο"* (ρ 317).

483. *ἀπὸ κοινοῦ ⟨τὸ⟩ κατέλαβον.*

484. *ἀναπαιστικὸν τὸ μέτρον.*

485. *ἀκωδώνιστον: ἀπείραστον, ἀβασάνιστον. κωδωνίσαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν. τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχειν πρὸς μάχην. ἔνιοι δέ φασι καὶ τοὺς ἵππους κώδωσι ἐξετάζεσθαι.*

487. *τὴν ἀκρόπολιν.* 489. *λείπει διὰ τὰ χρήματα.* L.

490. *ἵνα γὰρ Πείσανδρος: ὁ γὰρ Πείσανδρός ποτε προειστήκει τῆς πολιτείας μετὰ Θηραμένους καὶ Φρυνίχου. κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνης* (81 K.). *ἦν δὲ καὶ δειλός. ἔστι δὲ καὶ ἄλλος Πείσανδρος, ὁ Ὀνοκίνδιος, ὡς Εὔπολις διακρίνει τὴν ὁμωνυμίαν ἐν Μαρικᾷ* (182 K.).

491. *ἀντὶ τοῦ ταραχὰς ἐκίνουν.* S (*κορκορυγάς*).

493. *διχῶς ὑμῖν.* R.

499. *ὡς σωθήσει κἂν μὴ βούλῃ: τὸ ὡς προσέλαβε ἀντὶ τοῦ ἀλλὰ μήν. διὸ τὸ χ.* L.

501. *καὶ εἰ μὴ δέομαι σωθῆναι;*

506. *σαυτῇ κρώξαις: ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίστων.*

509. *τὸ σχῆμα Ἀττικόν, ὡς τὸ ἐνοχλῶ.*

475 S *σφηκιά* Hes. Tim. 63 EM 200, 34 E. Gud. 110, 26 schol. Equ. 794 477 S *κνώδαλον* Phot. Hes. Bachm. I 279 Eust. 106, 25; 1822, 38 Apoll. Soph. 101, 15 EM 527, 32 E. Gud. 331, 4 = Herod. II 246, 7 schol. Pind. Pyth. 10, 56 schol. Vesp. 4 schol. ρ 317 485 S *ἀκωδώνιστον* et *κεκωδωνισμένος* EM 325, 21 schol. Ran. 78 Bachm. I 64 Bk 29 490 schol. Av. 1556 cf. etiam sch. Pac. 394 Meineke hist. Com. p. 177 sq. 506 S *κρώζεις*

1 lemm om R *βλήττειν* LR corr PK 2 *κινήσει*, *ἐρεθίσει* L corr Wil 3 lemm om R 4 *κνώδαλα* L *ἄλα* R *καὶ καταχρ.* R 5 *ὅττι δίοιτο* om L 6 *τὸ* add P 7 nil nisi *ἀντιπαιστικός* L *ἀντισπατικὸν γὰρ τὸ μέτρον* R corr Dind. 8 lemm om R, qui v. 9 ante *μετῆκται* lemm habet *ὡς αἰσχρὸν ἀκωδώνιστον* 9 *περὶ* (add L^2 in marg.) *παραλούντων* L 10 *ἐπὶ τῆς φυλακῆς* L^1 corr L^2 13 *ἐξετάζειν* LR corr Wil 15 lemm om R 16 *τῆς* om L 17 *καὶ* poster. om L 21 i. e. var. lect. *ταμεύσομεν ὑμῖν* ex v. 495 25 lemm om R 27 *τὸ* prius om R *ὡς τὸ ἐν.* om L

511. *κακῶς ὑμᾶς βουλευσαμένους: τὸ ἐξῆς, ἐγινώσκομεν ὑμᾶς κακῶς βουλευσαμένους.*

512. *εἶτ' ἀλγοῦσαι τἄνδοθεν: τὴν μὲν καρδίαν λυπούμεναι, γελῶσαι δέ.*

513. *τὸ ἐξῆς, τί βεβούλενται ἐν τῷ δήμῳ.*

514. *τί δέ σοι τοῦτ' ἦδ' ὃς ἀνήρ: ἔφη ἀνήρ τις. καὶ ἐπὶ πλήθους τούτῳ ἐχρῶντο καὶ ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ, ὡς τὸ ὦ τᾶν.*

519. *εἰ μὴ τὸν στήμονα: εἰ μὴ εὑρεθείης, φησί, νήθουσα τὸν στήμονα. ἀντὶ τοῦ νήσεις.*

520. *παρὰ τὸ Ὁμηρικόν (Z 492).*

524. *οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ: λείπει ἔφη. οὐκ ἔστι πολέμιος ἐν τῇ χώρᾳ· μὰ Δί' οὐ δῆθ' ἕτερός τις ἔφη. ἢ οὐκ ἔστιν ἀνὴρ ἐν τῇ Ἀττικῇ λόγου ἄξιος ἡμῖν. Ἄλλως. ἀντὶ τοῦ ἄλλος τις ἔφη, οὐ μὰ τὸν Δία οὐκ ἔστιν ἀνὴρ ἐν τῇ πόλει.*

526. *ἀντὶ τοῦ πότε γάρ.*

530. *καὶ ταῦτα κάλυμμα φορούσῃ: καλύμματα φοροῦσιν, ἐπειδὴ παρρησίαν οὐκ ἔχουσι καὶ πόλιν φυλάττουσιν. † ἀντὶ τοῦ οὐδὲ τῆς τριχὸς κυριευούσῃ. κόσμιον περὶ τὴν κεφαλήν.*

531. *εἰς τὸ σιωπῆσαι.* 536. *ἐζωσμένος ὡς γυνή.* R.

537. *κνάμους τρώγων: ἢ δικάζων, ἢ ἵνα μὴ κοιμηθῇς. γέρων γὰρ εἶ.*

539. *αἴρεσθ', ὦ γυναῖκες: ἀναχωρήσατε ἀπὸ τῶν καλπίδων. ταῦτα λέγουσι διὰ μέσου ἕως τοῦ προσώπου Λυσιστράτης.* L.

εἰσάγει αὐτὰς ὀρχουμένας ἐν τῇ σκηνῇ. παρακελεύονται γὰρ ἀλλήλαις αἱ ὑδροφόροι ⟨ἀπὸ⟩ τῶν καλπίδων ἀναχωρῆσαι, ὅπως ἐν τῷ μέρει ὀρχήσωνται. R.

542. *οὔτε τὰ γόνατα κόπος: ἀντὶ τοῦ οὐδὲ τὰ γόνατά μου ἔλαβε καματηρὸς κόπος.*

526 S *ποῖ* 537 S *δικάζων*

1 lemm om R *ἡμᾶς* R 2 *βουλευομένους* L *βουλευσομένους* R corr B 3 lemm om R *ἀλγοῦσα* L 5 *ἐν* om R 6 *ὃς* R: *ὡς* L *τις*] R addit *ἐν τῇ στήλῃ* (ex v. 513), quod restare videri e schol. aliquo ad *παραγράψαι* recte coni. Duebn. 7 *τοῦτο* R 9 lemm om R 10 *ἀνήσεις* R 12 *λείπει* om R 14 *ἡμῶν* R 15 R repetit interl. *ἔφη* 16 *ἀντὶ τοῦ* om R 17 lemm om R *κάλυμμα* L *φορούσῃ* Enger. *ἐπειδὴ* L: *ὅτι* R 18 *πάλιν* L *πόλιν φυλάττονται* Bl. *ἐπειδὴ παρρησίαν οὐκ ἔχουσι, κεφαλὴν καλύπτουσι* Duebn. *ἀντὶ ὅτι* R 19 *κυριεύουσιν* L R corr Enger. 21 lemm et *ἢ* poster. om R 22 *ἦν* L 26 *ἀπὸ* add Bl. 28 lemm et *ἀντὶ τοῦ* om R 29 *καματηφόρος* R *κόπος* L: *πόνος* R

543. *ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι: πᾶν πρᾶγμα ποιῆσαι πανταχοῦ.*

545. *ἀντὶ τοῦ ἔνεστιν.* S(*ἔνι*). 548. *ἀντὶ τοῦ φρονίμη.*

549. *ἀλλ' ὦ τηθῶν: τήθας ἐκάλουν τὰς μάμμας, τηθίδας δὲ τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς ἀδελφάς. τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια. καὶ Ὅμηρος (Π 747) „πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν". ἀκαλήφας δὲ λέγουσι μὲν καὶ τὰς θαλασσίας, λέγουσι δὲ καὶ τὰς ⟨χερσαίας⟩ κνίδας Ἀττικοί. καὶ κνίδη μὲν ὅσον ἁπαλή ἐστιν, ἐπὰν δὲ σχῇ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσεν, ἐπειδὴ στερραὶ ἦσαν καὶ δριμεῖαι. καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων. μητριδίας δὲ λέγουσι τὰς ἐχούσας τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης· δάκνουσι δὲ αὗται· τοιαῦται γὰρ ἦσαν καὶ αἱ γραῖαι [δριμεῖαι].*

δριμυτάτων. λείπει τὸ παῖδες.

550. *καὶ μὴ τέγγεσθε: ἀντὶ τοῦ βάπτεσθε καὶ μεταβλήθητε. ἔτι γὰρ κρατοῦμεν τῶν ἀνδρῶν. ἀλλήλαις δὲ παρακελεύονται.*

μὴ μελλήσητε. R.

553. *κἆτ' ἐντέξῃ τέτανον: παράσχῃ τὴν τάσιν τοῦ αἰδοίου. ὅταν γὰρ στῇ τὸ αἰδοῖον, ὡς ῥόπαλον γίνεται.*

556. *ἀγοράζοντας: ἐν τῇ ἀγορᾷ διατρίβοντας. τὸ δὲ „νὴ τὴν Παφίαν Ἀφροδίτην" τοῦ προβούλου, ἵν' ᾖ κατ' εἰρωνείαν. τινὲς δὲ καὶ συνάπτουσιν αὐτὸ τοῖς ὀπίσω. χύτραις δὲ καὶ λαχάνοις ἀντὶ τοῦ χυτροπωλείοις καὶ λαχανοπωλείοις.*

549, 1 S *τήθη* sch. Ach. 49, Tim. 214, Bk. 30) *τήθη* et *τηθίς* Hes. *τήθη* Phot. *τήθη* et *τηθίς* Bk. 193, 194 Amm. *τήθη* sch. Platon. Pol. I 343 A, Phryn. p. 52, Eust. 316. 13; 565, 30; 485, 39 Bachm. II 362, 374, 380, I 386 *τήθη* et *τηθίς* E. Gud. 528, 52 3 Phot. *τήθεα* Apoll. S. 152, 12 (Bk.), lex Vindob. p. 178 Herodian. I 87, 26 5 S *ἀκαλήφη* Bk. 370, Moeris 191 (Bk.), Miller mél. p. 382, Pollux III 17 et 22, Athen. II 62 E, III 90 A, Kramer. an. Gr. Par. IV 104 Eust. 1485, 41 schol. Nicandri Alex. 201, 396, sch. Theocr. VII 110 EM 44, 18, E. Gud. 24, 29 Herodian. I 346, 1, Hes. schol. Equ. 422 550 S *μὴ τέγγεσθε* et *οὔρια θεῖτε* 553 S *τέτανος καὶ ῥοπαλισμός* 556 S *λαχάνοις* Hes. *ἀγοράζειν* Eust. 192, 14 EM 12, 54 Herodian. I 442, 16; 535, 15 Bk. 20, 330 Moeris 191, 11 (Bk.) scholl. Ach. 625, 720, 750

1 lemm om R 2 *τοῦ* om R 3 R in lemm add *ἀνδρειοτάτων* 5 *ὄστρεια* L 6 *ἀνὴρ ὅδε* om L 7 *χερσαίας* addidi e Bk 370 (= S *ἀκαλήφη*) 8 *ἐς ὅσον ἂν* S *ἔχῃ* L (cf S) 9 *τὰ σπέρματα. τὰς σφαίρας* L 10 *δριμεῖαι* Duebn. ex P: *γεννεῖαι* L R 11 *δὲ λέγει* R 13 *γὰρ* om R *δριμεῖαι* del Duebn, om S 14 *τὸ* om R 15 lemm om R *βλάπτεσθε* L 16 *ἔτι* R: *ὅτ' ἂν* L *ἀλλήλαις παρακελ.* in principio scholii R 17 *μελήσητε* R corr Wil 18 lemm om R 19 *τὸ αἰδ.* om R 20 lemm et *τῇ* om R *τὸ δὲ* L: *τινὰ δὲ τὸ* et (21) *τινὰ δὲ* R 22 *χύτραις — ἀντὶ τοῦ* om R 23 *χυτροπωλίοις λαχανοπωλίοις* L *λαχαν. χυτροπ.* R

558. *Κορύβαντες: ἔνιοι τοὺς Κουρήτας καὶ τοὺς Κορύβαντας τοὺς αὐτοὺς ὑπειλήφασιν. ἦσαν δὲ Διὸς τροφεῖς οὗτοι καὶ φύλακες. τινὲς δὲ αὐτοὺς δέκα φασί, ἄλλοι δὲ ἐννέα· ἦσαν δὲ τῆς Ῥέας ὀπαδοί.*

562. *εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον: εἰς χαλκῆν περικεφαλαίαν. λέκιθος δέ, ἐπεὶ ἔοικε λεκίθῳ ᾠοῦ.* L.

563. *ἀσπίδα.* L. *πέλτη ἀσπὶς ἴτυν μὴ ἔχουσα.* R.

564. *ἐφόβει. δρυπέτεις: τὰς ἐπὶ τῶν δένδρων πεπαν-θείσας ἐλάας φασὶ δρυπέτεις. νῦν δὲ ἐπὶ τῶν ἰσχάδων.*

566. *εὐχερῶς.* 567. *νῦν τὸ νῆμα κλωστήρ.*

575. *τὴν οἰσπώτην: τοῦ ἐρίου ὁ ῥύπος οἰσπώτη λέγεται. καὶ Κρατῖνος Διονυσαλεξάνδρῳ* (39 K.) „*οὔκ, ἀλλὰ βόλιτα χλωρὰ κῴ-σπώτην πατεῖν*“.

576. *τριβόλους: τοὺς μοχθηρούς.* R. *ἔστιν δὲ ἀκανθῶδες φυτόν.*

577. *συνισταμένους: συμπεπλεγμένους καὶ πιλοῦντας. ἀπὸ μεταφορᾶς τῶν ἐρίων. ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ᾽ ἀλλήλων, οὕτως, φησίν, ἐπὶ τῶν κεκολλημένων ταῖς ἀρχαῖς ὀφείλετε ἀποχωρίζειν, καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα.*

συνηγόρους. τοὺς θλίβοντας εἰς τὴν πολιτείαν ἑαυτούς.

578. *ἐπὶ ταῖς ἀρχαῖσι: ἐπ᾽ ἐλπίδι τοῦ ἄρχειν. τουτέστιν ἐνδύνοντας ἑαυτοὺς καὶ συναθροιζομένους καὶ θλίβοντας εἰς τὴν πολιτείαν. τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς κορυφὰς πεπιλη-μένας, καὶ ἐπὰν τιλθῶσι, διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν, καὶ τοῦ ἐρίου τὰς κορυφὰς πεπιλημένας ἐν τῷ πόκῳ, καὶ τὰς*

558 S *Κορύβας* schol. Vesp. 9 562 Phot. *πῖλος χαλκοῦς* Hes. cf. etiam schol. Plut. 427 (quod S exscripsit v *λέκιθος*) 563 S *πέλτον* schol. Plat. legg. III p. 813 Phot. *πελτασταί* Hes. scholl. Eur. Rhes. 311 Alcest. 398 EM 660, 25 564 S *ἐδεδίσκετο* et *δρυπέπης* Poll. VII 45 Bachm. I 201 cf. Pierson. ad Moer. p. 121 Eust. 211, 18; 664, 39 566 S *φαύλως* 567 S *κλωστήρ* EM 495, 27 575 S *οἴσπη* Phot. Hes. EM 619, 13 Herodian. I 343, 28 577 S *συνισταμένους* 578 S *διαξῆναι*

1 lemm om R *ἔνιοι τοῦ χοροῦ Κουρήτας καὶ Κορύβαντας* L 3 *φασὶ δέκα* L *ἄλλοι*: in R videtur *ἄλλως* esse *δὲ ἔννεα* L: *θεοὶ* R 4 *ὀπαδοί*: *παῖδες* LR correxi e schol. Vesp. 9 5 lemm om R *περικεφα . . . . .* R 7 *ἰσχὺν μὴ ἔχουσαν* L 8 lemm om R 9 *ἐλαίας* R *δρυπέπεις* R 11 lemm om R 12 *οὐ καλὰ* L *βόλβιτα — καὶ οἰσπώτην* LR corr Porson. 13 *πατεῖν*: *φα-γεῖν* Bl. 14 *δὲ* om L 15 *ἀπὸ μ. τ. ἐρίων* om L 17 *φασι* L 18 *εὔνοιαν* S: *εὔνους* LR 21 lemm om R 23 ante *τῶν γὰρ* R inser. *ἐπὶ ταῖς ἀρχαῖς διαξῆναι* 25 *τὰς κορ. πεπιλ. τοῦ ἐρ.* LR corr Wil

κεφαλὰς τῶν πονηρῶν καὶ συνισταμένων τοῖς πράγμασιν ⟨διαλῦ-σαι χρή⟩.

ἀποτῖλαι: ὡς τὰ ἄκρα τῶν ἐρίων.

581. *καὶ τούτους ἐγκαταμίξαι: αἱ γὰρ γυναῖκες ἐργαζόμεναι ἀφ᾽ ἑκάστου ἐρίου λαμβάνουσιν ἔν τι καὶ μιγνύουσιν ἄλλοις. — ἕκαστον γὰρ τῶν ἐρίων χωρίζεται καὶ ὕστερον πάντα μίγνυται.* R.

ἐπιτίμους ποιῆσαι.

582. *ἀντὶ ⟨τοῦ⟩ τῆς πόλεως.* R.

583. *κατάγματα: τὰ τῶν ἐρίων κατασπάσματα οὕτως ἐκάλουν.*

586. *συναγωγήν.*

587. *καὶ τολυπεύειν: ὡς ἐπὶ τῶν ἐρίων ἐπέμεινε τῇ τροπῇ.*

589. *πλεῖν ἢ γε διπλοῦν: τὸ ἐντελὲς πλέον. πλέον, φησίν, ἢ διπλοῦν τὸν πόλεμον φέρομεν, γεννῶσαι τὰ παιδία.*

590. *σίγα μὴ μνησικακήσῃς: ἀντὶ τοῦ μὴ μνησθῇς τῶν κακῶν, λέγουσα ὅτι νεωτέρους ὄντας ἐκπέμπουσιν εἰς πόλεμον.*

592. *ἀντὶ τοῦ τὸ καθ᾽ ἡμᾶς.*

593. *περὶ τῶν δὲ κορῶν: κορῶν περισπωμένως. οὐκ ἔστι γὰρ τριγενές.*

597. *ὀττευομένη: ἀντὶ τοῦ κληδονιζομένη, περὶ γάμου χρησμῳ-δουμένη. αἱ γὰρ χῆραι συνεχῶς μαντεύονται πότε γαμηθήσονται.*

599. *ὦ πρόβουλε.*

600. *χωρίον ἐστί: εἰς τὸ ὑποδέξασθαί σου τὸ σῶμα. οἷον ἔστι τόπος οὗ τεθήσῃ.*

601. *μελιτοῦτταν: [ἡ] μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον, καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ, καὶ στέφανος ὡς τὸν βίον διηγωνισμένοις.*

καὶ δημάξω: γράφεται καὶ δὴ μάξω. δημάζω ἀντὶ τοῦ παίζω.

583 S *κάταγμα* Bachm. I 268 597 S *ὀττευομένη* Hes. Herodian. II 562, 11 Moeris p. 204, 33 Eust. 969, 12 601 S *μελιτοῦττα*

1 *διαλῦσαι χρή* add Dind. ex S 3 interl. in L 4 lemm om R *αἱ γυναῖκες γὰρ* L 7 *ἐπιτόμους* L 8 *τοῦ* addidi 9 lemm om R *οὕτω* R 11 *καὶ* om R *τῶν* om L omisso lemm schol. iteratur in R 12 sq. R: *πλεῖν: τὸ ἐντελὲς πλέον. πλεῖν ἢ γε διπλοῦν πλέον, ἢ διπλοῦν τὸν πολ.* etc. 13 *ἐπι-φέρομεν* L 14 *σίγα* om L 15 *λέγουσα* om L 16 *ἀντὶ τοῦ* om R 17 lemm om R 19 lemm om R 22 lemm om R 23 *τεθήσει* R 24 *μελιττοῦσσαν* L in lemm *ἡ μελιττοῦτα* LR *ἡ* del Wil 25 *καὶ* poster. om L *στέφανον* L 26 *διηγωνισμένον* L 27 *γράφεται κ. δημάξω* bis in L, sch. marg. et interlin. *παίζω* L

παρ᾽ ὃ καὶ τὸ δημοῦσθαι. κάλλιον δὲ οὕτως· ὅσον οὔπω μάξω μελιτοῦτταν.

603. καὶ ταυτασί: τὰς ταινίας, ἃς τοῖς νεκροῖς ἔπεμπον οἱ φίλοι. ἐν ἄλλῳ δὲ εἶρον, τὰς δραχμάς, εἰς μισθὸν τῷ πορθμεῖ.

605. τίνος δέει.

607. τὸν Χάρωνα δηλονότι κωλύεις ἀναπλεῖν.

609. τοῖς προβούλοις: τοῖς ἄλλοις δηλονότι τοῖς κ᾽ τοῖς ἐκ τῆς συναρχίας. οὐ γάρ ἐστιν εἷς πρόβουλος.

610. βεβρεγμένον.

611. ὅτ᾽ οὐχὶ προὐθέμεσθά σε: τοὺς νεκροὺς γὰρ οἱ ἀρχαῖοι προετίθεσαν πρὸ τῶν θυρῶν καὶ ἐκόπτοντο.

612. ἀλλ᾽ ἐς τρίτην: ἐπειδὴ τῇ τρίτῃ τὸ τῶν νεκρῶν ἄριστον ἐκφέρεται.

613. ἀντὶ τοῦ τὰ τρίτα σου ποιούμενα.

615. τουτέστιν ἐγχειρήσωμεν.

616. τὰ τῶν γυναικῶν πράγματα.

619. τῆς Ἱππίου: τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, εἰκότως τοῦ Ἱππίου μόνου ἐμνημόνευσεν. πρεσβύτατος γὰρ ἦν οὗτος τῶν ἄλλων καὶ τὴν τυραννίδα ὑπέθετο, καθάπερ Θουκυδίδης φησί (VI 54). κατέσχε δὲ ἡ τυραννὶς ἐπὶ ἔτη ν′, οἱ δὲ μα′, Ἡρόδοτος δὲ (V 55) λξ′. Ἄλλως. οὗτος τύραννος ἦν, ὃς ἐποίησε τοὺς Ἀθηναίους κατωνάκας φορεῖν, ὅπως μὴ δυνηθῶσιν προενεγκεῖν τὰς χεῖρας. τοῦτον δὲ κατέλυσαν ⟨οἱ⟩ Λακεδαιμόνιοι.

621. ἐς Κλεισθένους: ἐπεὶ καὶ οὗτος γυναικώδης ὁ Κλεισθένης καὶ ὡς γυναικῶν συναθροιζομένων παρ᾽ αὐτῷ.

624. τὰ ἐν ἀκροπόλει.

629. λύκῳ κεχηνότι: ὥσπερ οὐδεὶς δύναται πιστεῦσαι λύκῳ

615 S ἐπαποδυώμεθα 619 S ὄζειν schol. Vesp. 502 629 S διαλάττειν cf etiam Phot. λύκος ἔχανεν et paroemm.

2 μελιττοῦσσαν L (27)—2 R: διὰ τοῦ δήμου ἄξω ἀντὶ παίζω παρ᾽ ὃ — δημοῦσθαι. κάλλιον, ὅσον — μελιττοῦτταν 3 καὶ τουτονὶ λαβέ lemm in R 4 δραγμάς R sch. 603 in L post 619 6 δῆλον L κωλύεις om R 7 lemm om R ἐν ταῖς συναρχίαις L 8 εἷς ἐστιν ὁ πρόβουλος L 9 βέβρεγμένος L 10 lemm om R 12 lemm et τὸ om R 13 ἐφέρετο L 15 ἐγχειρίσωμεν L ἀντὶ τοῦ ἐπιχειρήσωμεν RS correxi 17 lemm om R 18 οὕτοσι L 19 τυραννίαν R 20 ἔτη γ′ — δ′ — ξ′ LR cf prolegg. 21 ἄλλως om R οὗτος — fin. RS initio scholii τοῖς Ἀθηναίοις L 22 προσενεγκεῖν R 23 κατέλευσαν LRS corr Meursius Pisistr. c. 19 cf. schol. 1153 23 οἱ add e S 24 lemm om R ἐς L¹: L² suprascr. ἐκ 24—25 utrumque καὶ om L 27 lemm om R

χαίροντι. ἡ παροιμία ἐπὶ τῶν μάτην χαινόντων. ἢ ἐπὶ τῶν ἀλλότρια ἁρπαζόντων· ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις.

630. ἀλλὰ ταῦθ᾽ ὕφηναν: ἀλλ᾽, ὦ ἄνδρες, ταῦτα ἐποίησαν αἱ γυναῖκες, ἵνα τυραννήσωσιν.

632. ἐν μύρτου κλαδί: ἀντὶ τοῦ κλάδῳ, κατὰ μεταπλασμόν. L. πρὸς τὸ κομμάτιον, ὅτι ἐκ τοῦ σκολιοῦ ἐστιν. ἐν μυρσίνῳ κλάδῳ κρύπτω ξίφος. R. Ἄλλως. ὅτι ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομεν, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον.

633. ἀγοράσω τ᾽ ἐν τοῖς ὅπλοις: ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ Ἀριστογείτονος. L.

ἀντὶ τοῦ ἐγγύς. R.

634. λείπει βοηθός.

636. χλευάζει, ὅτι καὶ αὐτοὶ γέροντες. R.

οὐ γὰρ εἰσιόντας: ἀπὸ τῶν πληγῶν τῶν παρ᾽ ἡμῶν ἀλλοῖος γενήσῃ.

642. ἠρρηφόρουν: οἱ μὲν διὰ τοῦ α, ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι. οἱ δὲ διὰ τοῦ ε ἐρσεφορία. τῇ γὰρ Ἕρσῃ πομπεύουσι, τῇ Κέκροπος θυγατρί, ὡς ἱστορεῖ Ἴστρος (FHG I 17).

643. εἶτ᾽ ἀλετρὶς ἦ: ἢ ἀντὶ τοῦ ἦν, ὑπῆρχον. γίνονται δέ τινες τῶν εὖ γεγονυῖων ἀλετρίδες τῇ θεῷ, παρθένοι αἵτινες τὰ εἰς τὴν θυσίαν πόπανα ἀλοῦσιν. καὶ ἔστιν ἔντιμον τοῦτο. εἰσὶ δὲ καὶ ἱεροὶ μυλῶνες.

ἔα καὶ κατὰ συναίρεσιν ἦ.

644. τῇ δεσποίνῃ Ἀρτέμιδι ἢ Δήμητρι.

645. ἄρκτος ἡ Βραυρωνίοις: ἄρκτον μιμούμεναι τὸ μυστήριον

632—33 S ἀγοράσω et φορήσω cf etiam ἐν μύρτου κλαδὶ τὸ ξίφος κρατήσω Anecd. Ox. I 65 schol. Ran. 765 642 S ἀρρηφορία Harp. Hes. Bk. 202, 446 EM 149, 13 Herodian. II 479, 3 Wellmann. de Istro p. 11 643, 21 Herodian. II 326, 32 Hes. ἀλετρίδος Eust. 1885, 13 643, 25 S ἦ Eust. 883, 19; 1759, 39 645 S ἄρκτος ἡ Βραυρωνίοις Harp. ἀρκτεῦσαι Bk. 206, 235 EM 254, 11, Eust. 331, 26

1 ἡ παροιμ. — χαινόντων in fin. schol. R cf S χαιρόντων L ἢ — ἁρπαζόντων om R 2 οὐκ ἔστι λύκοις L 3 lemm om R 7 ἄλλως om R 8 φορέσομαι L 9 κατέλαβον LR corr Dind. e S 14 Legebantur ad 635 corr Wil 15 lemm om R ἡμῖν R 16 γενήσεται L 17 lemm om R ἠρριφόρουν et ἀρριφορία L οἱ μὲν R: οἶμαι L εἰ μέν — εἰ δὲ S 18 αἱ παρθένοι τῷ θεῷ L 19 ἐρσιφορία L 21 ἦν Dind.: ἦσαν L ἢ δεκέτις: η̄ ἀντὶ ηᾱ R 22 γεγονυῶν L ἐς L 23 εἰσὶ L: ἦσαν R 26 ἢ R: ὡς L 27 ἀρκτωμιμούμεναι L corr Dind.

ἐξετέλουν. αἱ ἀρκτευόμεναι δὲ τῇ θεῷ κροκωτὸν ἠμφιέννυντο καὶ συνετέλουν τὴν θυσίαν τῇ Βραυρωνίᾳ Ἀρτέμιδι καὶ τῇ Μουνιχίᾳ, ἐπιλεγόμεναι ⟨ἄρκτοι⟩ παρθένοι οὔτε πρεσβύτεραι δέκα ἐτῶν οὔτε ἐλάττους πέντε. ἐπετέλουν δὲ τὴν θυσίαν αἱ κόραι ἐκμειλισσόμεναι τὴν θεὸν, ἐπειδὴ λιμῷ περιπεπτώκασιν οἱ Ἀθηναῖοι, ἄρκτον ἡμέραν ἀνηρηκότες τῇ θεᾷ. L.

οἱ δὲ τὰ περὶ τὴν Ἰφιγένειαν ἐν Βραυρῶνί φασιν, οὐκ ἐν Αὐλίδι. Εὐφορίων (81 Mein.) „Ἄγχιαλον Βραυρῶνα κενήριον Ἰφιγενείας“.

δοκεῖ δὲ Ἀγαμέμνων σφαγιάσαι τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι, οὐκ ἐν Αὐλίδι, καὶ ἄρκτον ἀντ' αὐτῆς οὐκ ἔλαφον δοθῆναι. ὅθεν μυστήριον ἄγουσιν αὐτῇ. L.

Ἄλλως. ἄρκτος τις ἐδόθη εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ ἡμερώθη. ποτὲ οὖν μία τις παρθένος ἔπαιξε πρὸς αὐτὴν καὶ ἐξύσθη ἡ ὄψις αὐτῆς ὑπὸ τῆς ἄρκτου. καὶ λυπηθεὶς ὁ ἀδελφὸς αὐτῆς ἀνεῖλε τὴν ἄρκτον. ἡ δὲ Ἄρτεμις ὀργισθεῖσα ἐκέλευσε πᾶσαν παρθένον μιμήσασθαι τὴν ἄρκτον πρὸ τοῦ γάμου, καὶ περιέπειν τὸ ἱερὸν κροκωτὸν ἱμάτιον φοροῦσαν, καὶ τοῦτο ἀρκτεύεσθαι ἐλέγετο. LR.

οἱ δὲ καὶ λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. καὶ ὁ θεὸς εἶπεν λύσιν τῶν κακῶν ἔσεσθαι, ἐὰν τῆς τελευτησάσης ἄρκτου ποιναὶ ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσωσι. δηλωθέντος δὲ τοῦ χρησμοῦ τοῖς Ἀθηναίοις ἐψηφίσαντο μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειεν τῇ θεῷ. R.

646. κακανηφόρουν ποτ' οὖσα: ταῖς πομπαῖς ἐκανηφόρουν αἱ παρθένοι. ἐφόρουν δὲ καὶ λοπάδας τινὰς ὁλοχρύσους.

647. οὕτως ἐπόμπευον ὁρμαθοὺς ἔχουσαι τῶν ἰσχάδων.

651. τοὐράνου: τοῦ ἐράνου, φησί, μετέχω. ἄνδρας γὰρ εἰσφέρω εἰς τοῦτον, καθὸ τίκτουσιν ἄνδρας αἱ γυναῖκες. ἐγένετο δὲ ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα, ἅπερ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις, εἰ ἐπὶ τοὺς βαρβάρους πολεμοῖεν.

651 S *Μηδικὴ πόα* et *παππῶον*

4 ἄρκτοι add Wil 5 ἡμε L 12 ἄλλως om R ἐδόθη — καὶ ἡμ. L: δοθεῖσα — ἡμερ. R 13 αὐτῇ L αυ suprascripto τ R corr P 15 πᾶσαν om L 17 ἱμάτιον om L 20 ταρκτεύειν R 23 lemm om R 23—25 R: ταῖς πομπαῖς — ἐφόρουν δὲ καὶ ἀσπίδας τινὰς ὁλοχρύσους· καὶ ὁρμαθοὺς ἔχουσαι ἰσχάδων 24 λωπάδας L 26 lemm om R εἰσφέρω (quod lineola traducta deletum est) μετέχω R 27 τοῦτο L 28 ὥστε RS: ὅταν ὡς L συμβαλέσθαι R S (μηδικὴ πόα) ἅπερ — πολεμοῖεν om L; in R exstant post δαπανησάντων (653) correxi e Suida 29 ἅπερ R: ταῦτα δὲ S

τοῦτό φησι ὅτι τρέφομεν τοὺς πολίτας. ἀντὶ τοῦ γεννῶ.

653. ὡς αὐτῶν τὰ Μηδικὰ χρήματα δαπανησάντων.

654. τὸ εἶτα παρέλκει. L.

656. ἆρα γρυκτόν ἐστιν: ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν. ἀψήκτῳ δὲ ἀκαταμάκτῳ, ἢ σκληρῷ καὶ ἀμαλάκτῳ. κοθόρνῳ δὲ τῷ ὑποδήματι.

660. ἀντὶ τοῦ προσθήκην σχήσειν. 662. εὐτελὲς ἱμάτιον.

663. ἐντεθριῶσθαι: ἐντετυλίχθαι, ἐσκευάσθαι. μετενήνεκται δὲ ἀπὸ τοῦ λεγομένου θρίου σκευάσματος, ὃ ἐν σύκου φύλλοις εἰλεῖται.

665. λυκόποδες: λυκόποδας ἐκάλουν, ὡς μὲν Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους. τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔλαβον. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. τινὲς δὲ λυκόποδας, διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. ὁ δὲ Ἀριστοφάνης ἔφη νῦν τοὺς λεγομένους Ἀλκμαιωνίδας. οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν ⟨τὸ Λειψύδριον⟩.

666. χωρίον τῆς Ἀττικῆς ὑπὲρ τῆς Πάρνηθος, εἰς ὃ συνῆλθόν τινες ⟨τῶν⟩ ἐκ τοῦ ἄστεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ (395 Rose).

667. λείπει νεώτεροι. 669. ἐλαφρύνασθαι καὶ ἀνθῆσαι.

673. λιπαρᾶς χειρουργίας: ἀντὶ τοῦ τόλμης. λιπαρὲς ἔλεγον τὸ προσεχές, ἐκ τοῦ λίαν παρεῖναι. φησὶ οὖν, ὅτι οὐκ ἀφέξονται προσεχοῦς ἔργου αἱ γυναῖκες.

656 S ἆρα *γρυκτόν* et *γρυκτόν* et *ἀψήκτῳ κοθόρνῳ* 660 S *κἀπιδώσειν* 663 S *ἐντεθρίωται* 665 S *λυκόποδες* Phot. Hes. 666 S *λυκόποδες* et *ἐπὶ Λειψυδρίῳ μάχη* Eust. 461, 20 673 S *λιπαρὲς* et *χειρουργίας* Hes. *λιπαρές* EM 566, 46

1 *πολίτας* L: *πολεμοῦντας* R *ἀντὶ τοῦ* om R *γεννῶ* in R ante *τοῦτο* 4 *ἐστιν* om R 5 *δὲ ἀκαταμάκτῳ, ἢ* om R 6 *ὑποδ.* interl. in R 7 *ἀντὶ τοῦ* om R *σχήσει* R 8 lemm om R 9 *συκοφύλοις* L *συκοφύλλοις* R corr K 10 schol. in L exstat post 676 lemm om R *τοὺς* om L 11 Naber. (prolegg. ad Phot. p. 82) recte censet, ante *τοὺς* pauca excidisse, quae supplenda sint e Phot., qui v. *λυκόποδας* haec: — *τοὺς πρὸς Ἱππίαν ἀγωνισαμένους ἐπὶ Λειψυδρίῳ ὡς γενναίους· ἔλαθον γὰρ τοὺς δορυφόρους τῶν τυράννων διὰ τὸ κατειλεῖσθαι δέρμασι τοὺς πόδας καὶ λυκόποδας εἶναι* etc. 12 ἔλαβον S: ἔβαλλον L R 13 *κεκαλυμμένους* R S 14 *καίεσθαι* L 15 *ἐπίσημον* om L *ὁ δὲ* — fin. om R *τοὺς νῦν* L corr Wil 17 *τὸ Λειψύδριον* Dind. add e Suida 18 *τὸ ὑπεράνω Πάρνηθος* L *περὶ τὴν Πάρνηθον* R correxi e Suida v. *ἐπὶ Λειψ. μάχη εἰς ὃ* — fin. om R 19 *τῶν* addidi e Suida *ἀθηνῶν* L 22 lemm et *ἀντὶ τοῦ* om R 24 *προσεχῶς* L

675. *Ἀρτεμισία: Λυγδάμιος θυγάτηρ. αὕτη συνεμάχησε Ξέρξῃ καθ' Ἑλλάδος καὶ ἱκανῶς ἠνδραγάθησεν. ἦν δὲ τὸ γένος Ἐφεσία.*

676. *διαγράφω τοὺς ἱππέας: περιαιρῶ, ἀπὸ μεταφορᾶς τῶν δικαζόντων, οἳ ἐχάρασσον τοὺς κατεγνωσμένους. ἐκ δὲ τούτου εὐτελεῖς ἡγήσομαι αὐτούς. νικηθήσονται γὰρ ὑπὸ τῶν γυναικῶν.*

677. *κἄποχον: τουτέστι δυνάμενον ἐποχεῖσθαι. — παίζει δὲ πρὸς τὴν συνουσίαν.* R.

679. *ἃς Μίκων ἔγραψε: ποικίλη στοὰ Ἀθήνησιν οὕτω λεγομένη διὰ τὴν ἐνοῦσαν γραφήν, ἔνθα πεποίηκεν ὁ Μίκων τῶν Ἀμαζόνων τὴν μάχην, ἦν δὲ Φανομάχου υἱὸς Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος Μίκων εἰς πενίαν κωμῳδούμενος.*

680. *τὸν κύφωνα.* R. 682. *ἀντὶ τοῦ ἀνεγερεῖς.*

683. *τὴν φύσιν λέγει. τὴν ὀργήν.*

685. *καὶ ποιήσω τήμερον: ποιήσω σε δερόμενον ἐπικαλεῖσθαι εἰς βοήθειαν τοὺς δημότας. τιλλόμενον, ξεόμενον.*

686. *μιμοῦνται τοὺς τῶν ἀνδρῶν λόγους.*

687. *ὅπως ἄν. πάνυ ὠργισμένων.*

690. *ἵνα μὴ εἰς ὥραν ἔλθῃ. παίζει δὲ ἀπὸ τῶν εὐτελῶν.*

ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ. εἰς γὰρ τὸν πόλεμον φέρουσι σκόροδα. οἱ δὲ δικασταὶ τρώγουσι κυάμους, ἵνα μὴ κοιμηθῶσι. ὅθεν „κυαμοτρώξ, ἀκρόχολος (Equ. 41)".

693. *διὰ μέσου τὸ ὑπερχολῶ γάρ.* L.

694. *αἰετὸν τίκτοντα: λείπει τὸ ὡς. παροιμία, ἧς μέμνηται καὶ ἐν Εἰρήνῃ* (133). *τὰ γὰρ ᾠὰ τῶν ἀετῶν οἱ κάνθαροι κυλίοντες διαφθείρουσιν. ἐπεὶ τοὺς κανθάρους οἱ ἀετοὶ ἀναλέγονται.*

697. *ὄνομα γυναικός.* L.

682 S ζωπυρήσεις 685 S *πεκτούμενον* Phot. Hes. 687 S *αὐτοδὰξ τρόπον* 690 S *ἵνα μὴ φάγῃ* schol. Equ. 41 694 S *ἀετὸν κάνθαρος* Zenob. IV 65 (I 48 Mill) Ps. Zenob. I 20 Ps. Diogen. II 44 Hes. schol. Pac. 130

1—2 R: *Ἀρτ. Λυγδάμιδος* (Her. III 99: *Λυγδάμιος*) *θυγάτηρ τὸ γένος Ἐφ. ἥτις συνεμάχησεν Ξ. κατὰ τῆς Ἑλλάδος καὶ ἱκανῶς ἠνδραγάθησεν* 1 *Λυγδ. θυγ.* om L 2 *ἠνδραγάνθησεν* L 3 lemm om R *διαγράψομαι* L corr Dind. *περιαρῶ* L 4 *τοὶς κατεγνωσμένοις* L *ἐκ δὲ τούτου — αὐτούς* om R 6 lemm om R *τουτέστι* om L *ἀποχεῖσθαι* L 8 lemm om R semper *Μήκων* L *λεγομένην* R 10 *φανόχου* LR corr e CJA I 418 12 *ἀντὶ τοῦ* om R *ἀνεγείρῃς* L *ἀνεγείρεις* RS corr Bl 14 lemm om R *καὶ ποήσω* L *δαιρύμενον* R 15 *τοὺς* R: *καὶ* L 17 *ἄν* om R *ὀργ.* L 18 sqq. L: *ἵνα μὴ δικάσῃ ἢ ἵνα μὴ εἰς ὥραν ἔλθῃ. μηδὲ πολεμήσῃ. παίζει δὲ ἀπὸ τῶν εὐτελῶν, εἰς τὸν πόλεμον φερ. σκορ. —* fin. 23 lemm om R *λείπει τὸ ὡς* om L 24 *αἰετῶν* L

698. *οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ: οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο κελεύοντες τί πρακτέον καὶ τί μή.*

700. *ἑορτήν.*

701. *λείπει ταῖς ἐμαῖς.* R. *τὴν ἑταίραν: τὸ χ ἐνταῦθα, ὅτι τὴν γυναῖκα ἑταίραν εἶπεν, ὡς ἑταῖρον τὸν συνήθη καὶ φίλον.*

702. *ἐκ Βοιωτῶν ἔγχελυν: παρὰ προσδοκίαν πέπαικεν. ἐν γὰρ τῇ Κωπαΐδι λίμνῃ μέγισται ἐγχέλεις γίνονται.*

703. *τὰ ψηφίσματα τὰ κωλύοντα.*

706. *ἐκ Τηλέφου Εὐριπίδου* (699 N).

γυνὴ πρὸς Λυσιστράτην. R.

713. *ἐξ Εὐριπίδου* (116 N).

715. *ἀντὶ τοῦ ἵνα συντόμως εἴπω.*

719. *ἱκανή.* R. 720. *διορύττουσαν. κακεμφάτως.*

721. *ὅπου. ἐν τῇ ἀκροπόλει ἱερόν ἐστι τοῦ Πανός.*

722. *κατειλυσπωμένην: εἰλυσπᾶσθαι κυρίως τὸ ἐπὶ γῆς ἕρπειν, ὥσπερ οἱ ὄφεις καὶ οἱ σκώληκες. ἀπὸ τοῦ εἰλεῖν καὶ σπᾶσθαι. τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου ἐν Ὀλκάσι* (428 K).

723. *ἐπὶ στρουθοῦ: παρ' ὅσον τὸ ὄρνεον θερμὸν εἰς συνουσίαν.*

725. *οὗτος πορνοβοσκὸς καὶ μοιχός, καὶ ἐπὶ θηλύτητι κωμῳδεῖται.*

729. *ἔριά μοι Μιλήσια: ὡς τῆς Μιλήτου καλὰ ἐχούσης ἔρια.*

730. *ὑπὸ τῶν σέων: τῶν σητῶν. πρὸς τὴν κλίσιν δὲ τῶν σέων, ὅτι ἀπὸ τῆς σευς εὐθείας.*

732. *ὅσον διαπετάσασα: διαπετάσασα τὰ ἔρια. εἰς τὸ κακέμφατον δὲ αἰνίττεται.*

734. *ἢν τούτου δέῃ: τοῦ ἀπολέσθαι. ἢ κἂν δέῃ ἀπελθεῖν καὶ χρήζῃς, μὴ ἀπέλθῃς.*

698 S *ψῆφος* 700 S *παιγνία* 720 S *διαλέγουσαν* 722 Hes. *κατειλυσπωμένην* et *εἰλυσπᾶσθαι* Eust. 1413, 34 EM 299, 54 730 Phot.

---

1 lemm om R 2 *κωλύοντες* L om S *καὶ τί* R: *ὅτι* L 4 lemm et *τὸ χ ἐνταῦθα* om R schol. 701 R iterum post 703, ibique supra *χ*: *ω* scriptum 6 lemm om R 7 *γίνονται* om R 8 *τὰ* om L 13 Inde corrige Suidam, qui v. *διαλέγουσαν*: — *καὶ διαλέγου*: *διορύττου. θοινυδίδης* cf. Hesych. ed. M. Schmidt p. 491, 20 adn. *κακέμφατον* L 15 *κατιλυσπωμένην*: *ἰλυσπ.* L, ut Eust. lemm om R 16 *σκώληκες ἢ χαλῶσαν* L *ἀπὸ τοῦ* — fin. om R *εἰλεῖσθαι* L Eust. corr Dind. ex Hes. 17 *τροχιλιῶν* L 19 schol. interl. in L 20 *οὗτος* L: *Ὀρσίλοχος* R 22 lemm om R *κακὰ* LR corr K *ἐχούσης* fere evanuit in L add L^2 23 *σητῶν* in R. sch. interl. *δὲ* om R 25 lemm om R *τοῦτο* et *τὸ ἀπολέσθαι* L *ἢ* om R 28 *χρήζεις* LR corr Bekker.

735. τῆς ἀμόργιδος: τῆς λινοκαλάμης. ἔστι δὲ ἡ ἄμοργις ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτόν, ὑπὲρ τὴν βύσσον ἢ τὴν κάρπασον. ἅμα δὲ καὶ ἐπὶ τοῦ ἀνδρείου αἰδοίου παίζει, ὅτι καὶ βάμμα γίνεται ἐξ αὐτῆς ἐρυθρόν.

736. αὕτη ἄλλη τῆς ἄλλης κακίων. L.

737. τὴν ἄλοπον: ἀλέπιστον καὶ ἀκάθαρτον. πρὸς τὴν ὑπόνοιαν.

738. δεῦρο: ἐπὶ τὴν ἀκρόπολιν.

739. ἐγὼ δ' ἀποδείρασα: ἀποπλύνασα. δηλοῖ δὲ καὶ τὸ κακέμφατον.

741. ἀποδείρειν. R.

743. ἕως ἂν εἰς ὅσιον: ἀντὶ τοῦ εἰς βέβηλον καὶ μὴ ἱερόν, ἀλλ' ὅσιον εἰς τοκετόν. ἐπειδὴ ἐν τῇ ἀκροπόλει ἦσαν, παρθένος δὲ ἡ θεός. περικεφαλαίαν εἶχεν ὥστε δοκεῖν κύειν.

746. ὡς: ἀντὶ τοῦ πρός.

748. ἀπτομένη τῆς γαστρὸς αὐτῆς τοῦτό φησι.

755. ὅτι ἐν κοιλώμασι τίκτουσιν.

757. οὐδ' ἀμφιδρόμια: δέον παιδίου, εἶπε κυνῆς. κυνῆν γὰρ εἶχε προσποιουμένη κυεῖν. ἀμφιδρόμια δὲ ἡ δεκάτη ἡμέρα τῶν τικτομένων παιδίων, ἐν ᾗ τὰ ὀνόματα αὐτοῖς τιθέασι περιδραμόντες κειμένους.

758. ἐν πόλει: ἐν τῇ ἀκροπόλει. τοῦτο δὲ ἑτέρα γυνή φησιν.

759. ἐξ οὗ τὸν ὄφιν εἶδον: τὸν ἱερὸν δράκοντα τῆς Ἀθηνᾶς, τὸν φύλακα τοῦ ναοῦ.

762. τῶν προφάσεων. τῶν πλασμάτων.

763. οὐ νομίζεις κἀκείνους ποθεῖν ἡμᾶς;

770. χελιδόνες: αἱ γυναῖκες δηλονότι. χρησμός. R.

771. τῶν μορίων.

735 S ἀμοργίς Harp. Bk. 204 EM 85, 15; 86, 14; 129, 14, 20 Eust. ad Dion. P. 525 Poll. VII 74 737 S ἄλοπον Hes. Harp. ἀμοργίς EM 70, 40 Bk 379 743 S ὅσιον χωρίον Phot. schol. Plat. p. 397 (Bk) 757 S ἀμφιδρόμια Phot. Hes. schol. Plat. Theaet. 160 E Harp. EM 89, 54 759 Phot. Hes. οἰκουρὸν ὄφιν

1 lemm om R λινομαλάμης L¹ corr L² 2 ἀλεπίστῳ L² corr, ex quo, non vidi 3 ὑπὸ LRS corr K κάρπαθον L κάρπον R corr Dind. 4 ὅτι τι L γίνεται om L lemm om R 8 schol. interl. in L 9 lemm om R καὶ R: εἰς L 11 ἀποδείρω ad 742 R corr Wil 12 lemm om R μὴ ἱερὸν] S addit εἰς ὃ ἔξεστιν εἰσιέναι 14 κυεῖν R 15 ἀντὶ ὡς πρός R interl. in L corr Wil 18 lemm om R παιδίου L 19 εἶπε L κυνεῖν R 21 κειμένοις L 22 schol. interl. in L ἐν πόλει: ἀντὶ ἀκρ. R post φησίν φησιν om L 23 τὴν ὄφιν lemm in R 25 τῶν poster. L: καὶ R 27 schol. interl. in L δῆλον L om R corr Dind.

772. τὰ δ' ὑπέρτερα νέρτερα: τὰ ἐπικρατέστερα εὐτελέστερα θήσει. λέγει δὲ τοὺς ἄνδρας δηλονότι.

773. ἐπάνω κατακεισόμεθα: ἐρωτᾶ. ἐπάνω τοῦ αἰδοίου. κακεμφάτως δὲ ἐδέξατο.

774. διχῶς ἀποστῶσι. L.

776. καταπυγωνέστερον: μαλακώτερον καὶ πορνικώτερον τῆς χελιδόνος, τουτέστι τῆς γυναικός.

785. ἦν νεανίσκος Μειλανίων: μήποτε παρὰ τὴν ἱστορίαν εἴρηκεν. οὐ γὰρ Μειλανίων ἔφευγε μᾶλλον, ἀλλ' ἡ Ἀταλάντη. ἐπίτηδες δὲ τοῦτο ὁ τῶν ἀνδρῶν χορὸς παριστορεῖ.

789. ἐλαγοθήρα: ἐκνηγέτει, λαγοὺς ἐθήρα.

790. πλεξάμενος ἄρκυς: εἶδος δικτύου. λίνα κυνηγετικά.

795. κατὰ κοινοῦ τὸ μισοῦμεν τὰς γυναῖκας.

796. ἐσμέν, βδελυττόμεθα.

798. κρύμμυόν τ' ἄρ' οὐκ ἔδει: οἷον κλαύσῃ καὶ χωρὶς κρομμύων. ἢ κατὰ τὸ εἰρημένον ἄνω „ἵνα μήποτε φάγῃ σκόροδα καὶ κυάμους μέλανας (690)". ἢ ὅτι δακρύσεις καὶ χωρὶς τοῦ κρόμμυον ἐσθίειν. ἢ οὐ πολεμήσεις.

800. τὸ σκέλος ἢ τὸ αἰδοῖον. οἷον τιλθήσῃ. R.

801. καὶ Μυρωνίδης γὰρ ἦν: δύο Μυρωνίδαι ἦσαν, ὡς ἐν ταῖς Ἐκκλησιαζούσαις (303) δεδήλωται. ἐνθάδε τοίνυν μέμνηται τοῦ ἐν Οἰνοφύτοις νικήσαντος.

802. μελάμπυγός τε: τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν.

804. ὡς δὲ καὶ Φορμίων: Φορμίων στρατηγὸς σφόδρα εὐδόκιμος Ἀσωπίου υἱός. ὡς τριχώδης δὲ καὶ αὐτὸς καὶ μελαίνας πυγὰς ἔχων ἐκωμῳδεῖτο.

807. σοὶ τῷ γέροντι.

776 S καταπυγωνέστερον 789 S ἐλαγοθήρα 800 et 804 S λόχμη

1 lemm om R εὐτελέστερα — λέγει δὲ om R 2 τοὺς ἄνδρας in R etiam sch. interl. 3 lemm om R ἐρωτῶ L (sch. interl.) 5 ,v. l. pro ἀναπτῶνται' Wil 6 lemm om R καταπυγωνίστερον L 7 τῶν γυναικῶν R 8 lemm om R 9 ἔφευγε, μᾶλλον δὲ Luetke amicus 10 ἱστορεῖ L 11 lemm om R 12 εἶδ. δικτ. interl. in R 13 τοῦ L μισουμένας τὰς R 14 ἐσμέν R: διὰ τὸ L fort. corrupt. ex διότι σώφρονές ἐσμεν. βλελυττόμεθα R 15 lemm om R κλαύσει R semper κρομύων R 17 δακρύεις LR corr P 18 πολεμ . . . . R 19 τὸ σκέλος ἢ λαχ L παροιμία ‚λόχμην πολλὴν φορεῖς' ἀντὶ τοῦ τιλθ. S 20 lemm om R 23 lemm om R τοῖς R 25 lemm et Φορμίων om R 26 Ἀσώπου LR corr Dind. ex sch. Pac. 347 καὶ prius om R μέλανας L

808. *Τίμων ἦν τις: Τίμων οὗτος ἦν ὁ λεγόμενος μισάνθρωπος, ὃν φησι Νεάνθης* (F H G III 16) *ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι, μὴ προσιέμενον δὲ ἰατροὺς ἀποθανεῖν σαπέντα. καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιρραγέντα, ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Ζωστῆρα καὶ Σούνιον φερούσῃ.*

809. *ἀντὶ ⟨τοῦ⟩ ἄβατος καὶ ἄστατος.* R.

οἷον ἀκάνθαις τεθριγκωμένος, σκληρός. ἢ σκόλοψι καὶ παττάλοις ἠσφαλισμένος.

811. *ἀντὶ τοῦ σκυθρωπός.* 812. *διὰ τὴν μισανθρωπίαν.*

813. *Ἐρινύων ἀπορρώξ: ἐπὶ τῶν ἀπροσώπων καὶ δυσειδῶν.* S.

815. *ἐπιεικὴς ἦν καὶ ἔφευγε τοὺς πονηρούς.*

818. *ὡς ἡμεῖς ὑμᾶς.* 821. *κατ' ἐρώτησιν.*

822. *ἢ ⟨ἐν⟩ εἰρωνείᾳ φησίν, ἢ ἀληθῶς ἐφοβήθη.*

823. *λακτίσω.* 824. *τὸ γυναικεῖον αἰδοῖον.*

825. *ὅτι ἀπεψιλωμένον φησί.* 832. *μαινόμενον τῷ ἔρωτι.*

834. *τοντέστιν τῆς αὐτῆς ὁδοῦ καὶ διανοίας ἔχου ὡς τὸ καθ' ἡμᾶς.*

835. *Χλόης Δήμητρος ἱερὸν ἐν ἀκροπόλει, ἐν ᾧ οἱ Ἀθηναῖοι θύουσι μηνὸς Θαργηλιῶνος ⟨ς'⟩, ὡς Φιλόχορός φησιν ἐν ς'.*

838. *κωμῳδεῖ Κινησίαν ὡς κατωφερῆ εἰς συνουσίαν. ἦν δὲ διθυραμβοποιός. πέπαιχεν παρὰ τὸ κινεῖν.*

840. *παραλογίζεσθαι καὶ τὰ τούτοις παρακολουθοῦντα πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν, τοντέστι συνουσιάζειν.*

841. *εἰς ἣν ὠμόσαμεν.*

844. *σύν σοι ὀπτήσω τῷ ἔρωτι· ἀπὸ μεταφορᾶς τῶν κρεῶν.*

847. *λείπει τὸ ἐγγύς.*

ὁ ἐντὸς τῶν φυλασσουσῶν γυναικῶν.

849. *⟨ἡ⟩ ἐν ἡμέρᾳ σκοποῦσα.*

808—9 S *Τίμων* et *ἀπορρῶγας* 824 S *σάκανδρος* 835 schol. Soph. OC 1600 838—40 S *ὑπεροπεύειν* 844 S *ξυσταθεύσω*

1 lemm om R 2 *χαράδρας* L *χλωρὸν* R 4 *αὐτοῦ τὸν τάφον αὐτοῦ γενέσθαι ἄβατον* L *περιραγέντα* R 5 *πειραῖος* R *φερούσῃ* S(*ἀπορρ.*): *φυ-* (*ἀπορρ.*) *τεθριγγωμένος* S (*Τίμων*) corr Kust. *ἢ* L: *ἄλλως* R 8 *ἠφανισμένος* LS 9 *μισανθροπίαν* R 11 *ἔφυγε* L 818—889 scholia nulla in L 12 *ὡς εἰ ἡμ. ὑμ.* R corr Wil (ad *ἡμὶν ἀντεμίσει*) 13 *ἐν* add P 15 *ἀπεψωμενον* R 16 *εἰς τὸ* R corr Wil 19 *ς'* add Wil ex schol. Soph. 21 *πεπ. τὸ κιν.* legebantur ad v. 839; at pertinent ad nomen Cinesiae (Wil) 22 *τούτην* R correxi e Suida 28 *ἡ* add P

852. *παίζει πρὸς τὸ πέος, ὡς ἀπὸ δήμου τινός. ἢ ἵνα διαβάλῃ αὐτὸν ὡς ξένον καὶ Θρᾷκα.*

854. *διαπαίζει τὰς γυναῖκας ὡς ἐρώσας τοῦ κινεῖν.*

855. *διὰ στόματος.* 857. *ἀντὶ τοῦ φυλαττέσθω.*

861. *ἐν ἐρωτήσει.*

863. *τὸ αἰδοῖον δείκνυσιν. ἢ ἀργύριον ἢ μερίδα.*

864. *ἀπὸ τοῦ τείχους κατελθοῦσα, ὅπου ἐφύλασσον αἱ ἡμεροσκόποι.*

873. *τὸ πλῆρες, αὐτόσε οὐ καταβήσομαι ἀπὸ τῆς ἀκροπόλεως.*

876. *οὐδενὸς χρῄζων. ὑπὸ τοῦ ἔρωτος δηλονότι.*

877. *ἀντὶ τοῦ μὴ ἀπέλθῃς.* 878. *πρὸς τὸν παῖδα λέγει.*

881. *οἷον ἄτροφον ἀπὸ τῆς θηλῆς τοῦ μαστοῦ. μὴ θηλασθέν.*

883. *ἀντὶ τοῦ διὰ τὸ παιδίον.*

886. *ποθεινότερον. ἢ πραότερον.*

887. *ἀλαζονικῶς θρύπτεται· ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ βρενθείου μύρου.*

888. *τὸ ἐντελὲς ,δή ἐστιν ἅ'.*

889. *διὰ τὸ ὡραῖον αὐτοῦ.* 890. *ἀντὶ τοῦ ἐμοί.*

893. *ὡς αὐτοῦ ἁπτομένου αὐτῆς αἰσχρῶς.*

896. *ἀντὶ τοῦ οὐδὲ ὀλίγον μέλει σοι.*

τῆς κρόκης φορουμένης: ⟨ἀντὶ τοῦ⟩ διαφορουμένης, διασπωμένης.

898. *ἀνοργίαστά σοι: ἀτέλεστά σοι. ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ.*

900. *πρὸς Λάκωνας.* R.

903. *νῦν δ' ἀπομώμοκα: ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα.*

ἐκεῖσε: ἀντὶ ⟨τοῦ⟩ πρὸς σέ.

905. *καίτοι σ' οὐκ ἐρῶ: οὐ κρύπτω τὸν ἐμὸν πόθον.*

906. *ἐκοιμήθης.* R.

907. *ἐναντίον τοῦ παιδίου: οὐκ ἀποτόμως παραιτεῖται, ἀλλὰ διὰ προφάσεως πλείονος ἐρεθίζει.*

881 Hes. *ἄθηλον* Bachm. I 88 EM 26, 4 886 S *ἀγανές* 896 S *διαφορουμένης* 898 S *ἀνοργίας* 903 S *ἀπομώμοκα* 905 S *καίτοι*

12 *θλασθεν* R 15 *βρενθίου* R 17 *δῆτά ἐστιν* R corr Wil 890 incipit L 20 *μέλει σοι* om R 21 lemm om R *ἀντὶ τοῦ* addidi e Suida 23 lemm om R *ἀτελέστατα* L *σοι* om L 26 lemm et *ἀντὶ τοῦ* om R 28 *πρὸς σέ* interl. in L *τοῦ* add e K 29 lemm om R 30 legebatur ad 907, correxi 31 lemm om R

908. *οἰκέτης ἦν ὁ Μανῆς.*

911. *ὅπου τὸ Πανὸς καλόν: ἱερόν.* *ἐπεὶ ἐρωτικὸς ὁ Πάν. πλησίον δὲ τοῦ Πανείου ἡ Κλεψύδρα ἦν κρήνη.*

912. *εἰς τὴν ἀκρόπολιν.* R.

913. *λουσαμένη τῇ Κλεψύδρᾳ: ἐν τῇ ἀκροπόλει ἦν κρήνη ἡ Κλεψύδρα, πρότερον Ἐμπεδὼ λεγομένη. ὠνομάσθη δὲ Κλεψύδρα διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. ἔχει δὲ τὰς ῥύσεις ὑπὸ γῆν φερούσας εἰς τὸν Φαληρέων δῆμον.*

915. *οὐκ ἔστιν ὅρκος γυναικῶν.* 920. *λείπει τὸ ἱμάτιον.*

923. *αἰσχρὸν γὰρ ἐπὶ τόνου γε: ἀντὶ τοῦ ἐπὶ ἐπιτόνου. λείπει γὰρ ἡ ἐπί. δηλοῖ δὲ ἐπὶ δέρματος. καὶ Ὅμηρος (μ 423) „ἐπίτονος βέβλητο“.*

925. *λείπει τὸ ἱμάτιον.*

928. *Ἡρακλῆς ξενίζεται: παροιμία ἐπὶ τῶν βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσιν· ἀδηφάγος γὰρ ὁ ἥρως.*

929. *ἀνιστὰς ἀναπήδησον: ἵνα προσκεφάλαιον αὐτῷ θῇ.*

930. *κατ᾽ ἐρώτησιν.*

931. *στρόφιον: τὸ στρογγύλον ζωνάριον.* S. *τὴν ζώνην.* R.

933. *σισύραν οὐκ ἔχεις: διφθέραν. ἱμάτιον πυκνόν. ἄκναπτον ἱμάτιον καὶ παχὺ ἡ σισύρα.*

936. *ἀντὶ τοῦ ἡ γυνὴ ἡ ἄνθρωπος εἶπε.*

937. *ἀλλ᾽ ἐπῄρται τοῦτό γε: τὸ αἰδοῖον δείκνυσι. παρ᾽ ὑπόνοιαν δὲ ἀπήντησε.*

943. *εἰ μὴ διατριπτικόν τε: παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι. οἷον διατριβῆς γέμον καὶ βραδυτῆτος.* *ἐπεὶ [καὶ] τριβόμενα ἔνια τῶν μύρων ἡδίω γίνεται. ἅμα δὲ καὶ πρὸς τὴν διατριβὴν λέγει.*

913 cf S *Κλεψύδρα* Phot. *Κλεψ.* Hes. *Κλεψύδρα* et *Πεδώ.* schol. Av. 1694 cf. Jahn-Michaelis, Pausaniae descr. arc. Athen. p. 36, 16 923 S *ἐπίτονος* Poll. X 37 928 S *Ἡρακλῆς ξενίζεται* Eust. 561 EM scholl. Ran. 63, 107 931 Phot. Cramer. an. Par. p. 175, 27 EM 730, 56 schol. Thesm. 139 933 Phot. Hes. Bachm. I 365 Tim. 193 EM 714, 24 E. Gud. 500, 59 schol. Theocr. Id. V 15 schol. Lycophr. 633 Herodian. II 581, 1 cf. schol. Av. 122 943 S *μύρον διατριπτικόν*

1 *ἦν* om R 2 lemm om R *ἱερὸν* om L *ἐρωτικῶς* R 3 *πανίου* R 5 lemm om R 8 *ὑπὸ γῆν φέρουσα* L *ὑπὸ τὴν φέρουσα* R corr Michaelis *φλεγρεώδη λειμῶνα* L *φλεγρεωδηλον* R habere testatur Martinus, de ultimis litteris dubitans; servavit nimirum *δημον.* corr Michaelis 10 lemm om R *τοῦ ἐπὶ* om R 11 *δηλοῖ* LR: *γελοῖον* S *καὶ* om R 14 lemm om R 15 *ἡρακλῆν* L *πολυγάγος* S 16 lemm om R *αὐτῷ* om L 19 lemm om R *διφθ. ἱμ. π.* R: *διεφθαρμένον ἱμ.* L *ἄκαμπτον* R 21 *τοῦ* om R *εἶπε* om R 22 lemm om R 24 lemm om R 25 *καὶ* cum S del Enger 26 *γίνονται* R *ἅμα* — fin. om R

944. *τάλαιν᾽ ἐγώ: τοῦτό φησιν ἵνα πάλιν ἀπέλθῃ. οὐ τὸ Σύριον. Ῥόδιον δὲ μύρον τὸ ἀπὸ τῆς Ῥόδου· ὃ καλοῦμεν ἡμεῖς ῥόδινον.*

947. *τὴν μυροθήκην.* *τὸ αἰδοῖόν φησι.*

948. *τοῦ μύρου.*

951. *σπονδὰς ποιεῖσθαι ψηφιεῖ: τοῦτο εἰρηκυῖα ἡ γυνὴ ἄπεισι.*

952. *ἀπολώλεκέ με: ὁ ἀνὴρ ἀπελθούσης τῆς γυναικὸς ὀδύρεται.*

953. *εἰς τὸ αἰσχρόν.* 955. *ἀντὶ ⟨τοῦ⟩ ἀπατηθείς.*

956. *πῶς ταύτην παιδοτροφήσω: ὡς θυγατρὸς αὐτῷ ἐπομένης. κακεμφάτως δὲ καὶ ἐπὶ τοῦ αἰδοίου δύναται νοεῖσθαι.*

957. *ποῦ κυναλώπηξ: ὁ Φιλόστρατος. καὶ ἀλλαχοῦ* (Equ. 1069) *„Φιλόστρατος ἡ κυναλώπηξ“. ὡς πορνοβοσκοῦ ὄντος τοῦ Φιλοστράτου. βούλεται δὲ τίτθην μισθώσασθαι, ἵνα θρέψῃ τὸ παιδίον.*

962. *ποῖος γὰρ ἢ νεφρὸς ἀντίσχοι: πῶς δυνήσῃ σαυτὸν ἐπισχεῖν, οὕτως ἠρεθισμένος.*

963. *ποία ψυχή: παρὰ τὸ ἐξ Ἀνδρομέδας „ποῖαι λιβάδες, ποία σειρήν“.* (116 N.)

964. *ἀντὶ τοῦ πρωκτός.* 966. *ἀντὶ τοῦ ἐν τοῖς ὄρθροις.*

973. *Θωμούς: σωροὺς ξύλων.* *Θωμοὶ [δὲ] λέγονται οἱ τῶν πυρῶν σωροί. τυφὼς δὲ* (974) *ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφή, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα.*

974. *μεγάλῳ καύσωνι.*

980. *πᾶ τᾶν Ἀσανᾶν: ἀντὶ τοῦ ποῦ τῶν Ἀθηνῶν ἐστιν ἡ γερουσία, τουτέστιν ἡ ἐκκλησία, καὶ ἡ σύνοδος. διατεταμένος δὲ ἦλθεν. ἀπὸ κοινοῦ δὲ ποῦ εἰσι καὶ οἱ πρυτάνεις, οἷς θέλω τι νέον εἰπεῖν.*

982. *Κονίσαλος: δαίμων πριαπώδης ὁ Κονίσαλος· ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίσγεσθαι.*

983. *ὦ κυρσάνιε: ἀντὶ τοῦ ὦ νεανία, ὦ ἔφηβε.* *ἢ ἀντὶ τοῦ εὐτελέστατε. κυρσὸς γὰρ εὐτελὲς λάχανον.*

947 Eust. 1161, 35 EM 55, 34 E. Gud. 31, 13 Bk 374 sch. Ach. 1051 Herodian. II 472, 7 973 S *θωμούς* Phot. Hes. 982 S *κονίσαλος* 983 S *κυρσάνιε*

1 lemm om R *οὐ τὸ Σύριον* om R 2 *τοῦ ῥόδου* Enger 4 *φησι* om L 6 lemm om R 7 lemm om R 8 *ἀντὶ* om L *τοῦ* add e K 9 lemm om R 10 *καὶ* om L *νοεῖσθαι* L: *ἀκούεσθαι* R 11 lemm et *ὁ Φιλόστρ.* om R 13 *τίθην* R 14 lemm om R *δύνῃ* R 16 lemm om R *παρὰ τὰ* R *ποία λιβάς* L 19 lemm om R *ξύλα* L *δὲ* delevi; incipit nova explicatio 20 *πυρσῶν* L 23 lemm et *τοῦ* om R *παῖ* L *Ἀθηναίων* R 25 *δὲ ποῦ* L: *ὅπου* R 27 *Κονίσαλον* lemm in L om R 28 *μίγνυσθαι* RS 29 lemm et *ἀντὶ τοῦ — ἢ* om R 30 *κυσος* R *γὰρ* RS: *δὲ* L

985. *κἄπειτα δόρυ δῆτα: διὰ τὸ τὸ αἰδοῖον αὐτοῦ μέγα εἶναι, ἐξέτεινε τὰ ἱμάτια τῇ χειρί. ὁ δὲ εἶπε δόρυ ἔχεις.*

986. *οὐ μὰ τὸν Δία.* L.

988. *παλεός γα νὴ τὸν Κάστορα: ὥσπερ τὸ πήγανον ἔνιοι ἀφαιρέσει τοῦ π ἤγανον λέγουσιν, οὕτως ἐνταῦθα κατὰ τὸ ἐναντίον πλεονάζει τὸ π. ἠλεός, ἀλεὸς, παλεός. τουτέστι λῆρος καὶ μάταιος.* L.

παλεός: ὁ σκώπτης. τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος. S.

990. *μηδὲ πλησίον γένοιτό μοι τὸ στύειν.*

991. *τὸ αἰδοῖον δείκνυσι.*

σκυτάλα Λακωνικά: ξύλον ἐστὶν εἰς δύο τεμνόμενον. καὶ το μὲν ἓν δίδοται τῷ στρατηγῷ ἐξερχομένῳ, τὸ δὲ ἄλλο κεῖται ἐν τῇ πόλει.

992. *καὶ ὁ Ἀθηναῖος δείκνυσιν αὐτῷ τὸ ἑαυτοῦ αἰδοῖον.*

995. *ὀρσά: ἀντὶ τοῦ ὀρθή.*

πᾶα, πᾶσα, οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

996. *Πελλάνας δὲ δεῖ: ὄνομα γυναικὸς ἑταίρας. ἦν γὰρ παρ' αὐτοῖς πόρνη Πελλήνη τοὔνομα. ἐπιθυμοῦσιν οὖν τῆς πόρνης. ἤγουν τῆς πόλεως Πελλήνης ἐπιθυμοῦσιν. ἀντεποιοῦντο γὰρ αὐτῆς οἱ Λάκωνες.*

997. *ἀπὸ τίνος.* 998. *κατ' ἐρώτησιν.*

οὐκ, ἀλλ' ἀρχὰ μέν: ὁ νοῦς· ἤρξατο τὸ κακὸν τοῦτο διδόναι ἡμῖν ἡ Λαμπιτώ. οἱῶ δὲ κατ' αὐτοὺς ἀντὶ τοῦ οἴομαι.

1000. *ᾷπερ: ὥσπερ.*

ἀπὸ μιᾶς ὑσπλαγίδος: ⟨ἀντὶ τοῦ⟩ ἀφέσεως, βαλβῖδος. L S.

ἀπὸ μιᾶς ἀφετηρίας, ὥσπερ ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος.

1001. *ἀπήλαον ἀπήλασαν.* *τῶν γυναικείων μορίων.*

1002. *τὸ τέλειον ἀνά.* 1003. *ὥσπερ.*

ᾷπερ λυχνοφορίοντες: οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον.

988 Hes. *παλαιόρ* E. Gud. 447, 45 Eust. 1443, 64 990 S *μηδ' αὖ πλαδδίη* 995 EM 646, 37 Eust. 56, 80 998 S *Λαμπιτώ* et *οἱῶ* 1000 S *ὑσπλάτιδος* 1001 S *ὑσπλάτιδος* et *ὑσσάκων* Phot. 1003 S *λαμπροφόροι* et *ἀποκεκύφαμεν*

1 lemm et alterum *τὸ* om R 4 *παλεός*: supra *σ* L^2 scr. *ρ* *πήγωνον* L 5 *κατὰ τὸ ἐναντίον* L^2 in marg. add 8 *τὸ* om R 10 lemm om R 10—11 *καὶ τὸ ἓν — καὶ τὸ ἄλλο* R 13 *δείκν. αὐτοῦ τὸ αἰδοῖον* L 14 *ἀντὶ τοῦ* om R 15 *πᾶ πάα* L 16 lemm om R 17 *ἐπιθυμοῦσιν* om R 18 *αὐ-* om R 20 *κατερώτησιν* R 21 lemm om R *ὁ νοῦς* om L 22 *κατ' αὐτούς* 23 *ὥσπερ* interl. in L 25 *ὥσπερ* L: *ἤγουν* RS *ἑνὸς* RS: *μιᾶς ἑνὸς* L 26 *ἀπήλαον* om L 28 lemm om R

1004. *οὐδὲ θιγεῖν τοῦ γυναικείου μορίου.*

1007. *τουτὶ τὸ πρᾶγμα: οἱ Ἀθηναῖοι πρὸς τὸν κήρυκα.*

1013. *δραμοῦμαι, πετήσομαι.*

1014. *ἐν ἄλλῳ Κινησίας ἦν ὁ λέγων.*

1019. *ἀλλ' ὅταν βούλῃ σύ: ἀπὸ κοινοῦ βεβαίαν φίλην ἔχειν με. καὶ ἔξωθεν ὑπακουστέον τὸ ἔχε.*

1020. *γυμνὸς γὰρ ἦν.*

1023. *καὶ τότ' ἀπέδυν ἐγώ: ὅτι ἀπεδύσαντο κατὰ τῶν γυναικῶν.*

1024. *εἶτα οὐ καταγελασθήσῃ.* L. 1025. *τὴν ἐμπίδα.*

1026. *ἀντὶ τοῦ ἐξέλοιμι.* 1027. *ἡ ἐμπὶς δηλονότι.*

δακτύλιος οὑτοσί: δίδωσιν αὐτῇ δακτύλιον, ἵνα ἐξενέγκῃ τὴν ἐμπίδα τοῦ ὀφθαλμοῦ.

1028. *ἐξένεγκε.* L S.

1032. *οὐκ ἐμπὶς ἥδ' ἐστὶ Τρικορυσία: ἐμπὶς ζῷον κώνωπι παραπλήσιον. ὡς ἐν Τρικορύθῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος. ἢ ἐπεὶ πονηροί εἰσιν οἱ Τρικορύσιοι.*

1033. *ἀπὸ μεταφορᾶς τῶν τὰ φρέατα ὀρυττόντων, εἰς βάθος ὡς φρέαρ ἀνώρυττεν, φησί.*

1037. *κολακευτικαί.*

1038. *ἐν παροιμίᾳ τοῦτο ἔλεγον*

„κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ".

καὶ Ἡσίοδος (Erg. 58) *τὸ „ἐὸν κακὸν ἀμφαγαπάζων".*

τοὔπος: τὸ ἔπος. S.

1043. *λέγει ὅτι ὦ ἄνδρες οὐ παρασκευαζόμεθα εἰπεῖν κακῶς τινα, ἀλλὰ μᾶλλον καλῶς, ὡς ἀπὸ ⟨τοῦ⟩ ποιητοῦ δέ ἐστιν.*

1047. *τὸν πόλεμον λέγουσιν. ἱκανῶς γὰρ ἐκακοπράγουν ἤδη μετὰ τὰ ἐν Σικελίᾳ.*

1004 S *μύρτον* 1028 S *ἐκσάλευσον* 1032 S *ἐμπίς* Hes. EM 157, 25 E. Gud. 184, 56 Herod. 98, 1 sch. Av. 245 Nub. 157 1037 S *θωπικαί* Hes. 1038 S *οὔτε σύν*

1 *μορίου* L: *αἰδοίου* R (S) 2 lemm om R *ὁ Ἀθηναῖος* R *τὸν* om R 5 lemm om R 6 *τὸ ἔχειν* L 8 lemm om R *ὅτι* R: *ἀντὶ τοῦ* L 11 *τοῦ* om R 12 lemm om R 14 S addit: *ἦν δὲ ἐμπὶς ἐν τῷ ὀφθαλμῷ αὐτοῦ* 15 lemm om R 16 *Τρικορίνθῳ* LR *Τρικορύσῳ* S corr Dind. 17 Desinit L 19 *ἀνώρυττέ με* Bl 22—23 Susarionis versus. cf prolegg. in Comoed. in edit. scholl. Duebn. pp. XVII et XXI, fr. 1 K 24 *ἀμφαγαπάζων* R: *ἀμφαγαπῶντες* K et codd. Hesiodi 27 *τοῦ* add B

1048. *τὴν τῶν γυναικῶν καὶ ἀνδρῶν στάσιν λέγει τὰ παρακείμενα.*

παρακείμενα: τὰ νῦν. S.

1049. *λεγέτω τίνος δέεται.* 1053. *ἐσω ἡμῖν ἐστιν.*

1055. *δηλονότι οὐδὲν αὐτοῖς προήσονται.*

1056. *ἀντὶ τοῦ κερδάνῃ.*

1057. *ἀντὶ τοῦ ἀποδῷ παρ' ὑπόνοιαν.*

1058. *Κάρυστος πόλις Εὐβοίας. διαβάλλονται δὲ ὡς μοιχοὶ οἱ Καρύστιοι.*

1063. *ἐν ἄλλῳ γενέσθαι ἀντὶ τοῦ ἔξεσται.* 1066. *τὸ ἐλθεῖν.*

1071. *τοῦτο εἰς γέλωτα εἶπεν παρ' ὑπόνοιαν, δέον ἀνεωχθήσεται.*

1072. *ἔχοντες πώγωνας.*

1073. *διὰ τὴν τοῦ αἰδοίου ἐξοχήν. ⟨τοῦτο δέ φασιν, ἐπεὶ καθελκόμενα εἶχον τὰ ἱμάτια, ὥστε δόξαι ἀγγεῖά τινα ἔχειν αὐτούς. τὸ δὲ⟩ χοιροκομεῖον ἔοικε πλεκτὸν ἀγγεῖον εἶναι, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους πεδήσαντες. νῦν δὲ λέγει τὸν πάτταλον, ἐν ᾧ δεσμεύουσι τοὺς χοίρους καὶ τρέφουσι. ἐπεὶ οὖν ἐντεταμένοι ἦλθον, ἤκασεν αὐτοὺς παττάλοις.*

1078. *τὴν ἔντασιν τοῦ αἰδοίου λέγει. νεῦρον γὰρ ⟨τὸ αἰδοῖον⟩.*

1079. *ἀντὶ τοῦ, χεῖρον τῆς τάσεως τοῦ Ἑρμοῦ φαίνεται. τουτέστιν χεῖρον τέταται τοῦ Ἑρμοῦ. ἐπειδὴ ὁ Ἑρμῆς πριαπῶδες ἔχει αἰδοῖον καὶ ἐντέταται μεγάλως.*

1080. *ὅπα, ὅπου. σέλει, θέλει. ἐλσών, ἐλθών. ἀντὶ ⟨τοῦ⟩ πάντα πράττων τις ἀγέτω ἡμῖν εἰρήνην.*

1083. *καὶ μὴν ὁρῶ: τοὺς Ἀθηναίους λέγει. ἐντεταμένους. φαίνονται δὲ οἱ ἀσκοῦντες παῖδες, ὡς μὴ παρατρίβοιντο τὰ αἰδοῖα εἰς ὑπόμνησιν ⟨τῆς⟩ συνουσίας ἀφιστάναι τὰ ἱμάτια ἑαυτῶν. οἱ γὰρ ἀσκοῦντες παῖδες συστέλλουσι τὰ ἱμάτια, ὅπως μὴ προστρίβωνται ⟨τὰ αἰδοῖα⟩ καὶ μιανθῇ τὰ ἱμάτια.*

1085. *ἀσκητικόν: ἀντὶ τοῦ μέγα. διὰ τὴν ἐπιθυμίαν τῆς εἰρήνης εἶπεν τοῦ νοσήματος.*

1073 S *χοιροκομεῖον* cf. sch. Vesp. 844 Poll. X 159 Hes. Eust. 1752, 28 (533)
1085 S *ἀσκητικόν*

---

11 *τοῦτο — εἶπεν* R in marg. ext., reliqua in marg. int. corr Wil 13—15 *τοῦτο δὲ — τὸ δὲ* add e K(B) 16 *περιδήσαντες* R correxi e Suida 17—18 *ἐπεὶ* add e K 25 *λέγει τεταμένους* R corr Wil 27 *τῆς* add e K 29 *τὰ αἰδοῖα* add e K

1087. *δείκνυσιν.* 1088. *ὁμοία.*

1089. *τέτανος. οἱ γὰρ σπασμὸν ἔχοντες περὶ τὸν ὄρθρον αἴσθονται σφόδρα.*

1090. *συγκόπτοντες, τὰ ἱμάτια συστέλλοντες.*

1092. *οὗτος Σιβυρτίου παῖς ἐπὶ θηλύτητι κωμῳδούμενος.*

1093. *τοῦτό φησιν· εἰ μὴ περιβαλεῖσθε, ἀλλὰ φανερὰ ἕξετε τὰ αἰδοῖα, ἀκρωτηριάσει τις ὑμᾶς τῶν Ἑρμοκοπιδῶν. ἐξ οὗ δῆλον ὅτι μετὰ τὸ εἰσελθεῖν ἀπεγυμνώθησαν φορτικῶς πάνυ.*

1094. *παρόσον οἱ Ἑρμοκοπίδαι ἠκρωτηρίασαν τοὺς Ἑρμᾶς, ὅτε ἐπὶ Σικελίας ἔμελλον πλεῖν ⟨πρὸ ἐτῶν τεσσάρων τῆς καθέσεως τούτου τοῦ δράματος. τὴν δὲ αἰτίαν ταύτην οἱ μὲν τοῖς περὶ Ἀλκιβιάδην προσέγραφον, ὡς Θουκυδίδης (VI 61). οἱ δὲ Κορινθίοις, ὡς Φιλόχορος (FHG I 110). μόνον δέ φησιν ⟨οὐ⟩ περικοπῆναι τὸν Ἀνδοκίδου Ἑρμῆν⟩.*

1099. *ἄνδρες: οἱ Ἑρμοκοπίδαι.* *ἐκδεδαρμένους, τὰ αἰδοῖα ἀνατεταμένους.*

1100. *οἱ Βοιωτοὶ πρὸς τοὺς Λάκωνας.*

1105. *παίζει, παρὰ τὸ λύειν τὸν στρατόν. μὴ μόνον Λυσιστράτην.*

κἂν λῆτε, κἂν βούλησθε. *⟨ἢ⟩ διαβάλλει τινά.*

1110. *τῷ σῷ πόθῳ, τῇ σῇ θέλξει. ἴυγξ ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας, ⟨ἣν φασιν Ἠχοῦς εἶναι θυγατέρα, ἔνιοι δὲ Πειθοῦς⟩.*

1113. *μὴ συνόντας ἀλλήλοις μηδὲ πεῖραν ἑαυτῶν δεχομένους. ὀργῶντας, πρὸς εἰρήνην.*

1114. *ὡς πρός τινα ἐξυπηρετουμένην, ἣν καλεῖ Διαλλαγήν. καὶ ὅλως ἐκ τοῦ μέρους τούτου „Λυσιστράτη ἢ Διαλλαγαὶ“ κέκληται τὸ δρᾶμα.*

1117. *ὡς ὀχληρῶν ὄντων τῶν Ἀθηναίων ἐν μάχαις.*

1119. *σκώπτει αὐτοὺς ὡς μαινομένους ἐπὶ τῷ ἔρωτι.*

τῆς σάθης: τοῦ αἰδοίου.

1092 S *βινεῖν* 1093 S *θοἰμάτιον* 1094 S *Ἑρμοκοπίδαι* Phot. Hes.
1110 S *ἴυγξ* Hes. EM 479, 65

---

10 *πρὸ ἐτῶν* — fin. add e K(B) *καταθέσεως* K corr Hemsterhusius 13 *οὐ* add Duker. ad Thuc. II 61 18 *παίζει, μὴ μόνον Λυσίστρατον. παρὰ — στρατόν* R corr Wil 20 *ἢ* add P 21 *ἴυξ* R 22 *ἣν — Πειθοῦς* add S cf. schol. Theocr. II 17 23 *ἀλλήλους* R corr Dind. *μήτε* R 26 cf indicem Novatianum in Herma XIV 464 28 *μάχαις: διαλλαγαῖς* Wil 29—30 continuantur in R, distinxi

1121. *ἄν σοι δῷ ἢ τὴν χεῖρα, ἢ ἄλλο τι.*

1123. *ὦ Ἀθηναῖοι.*

1125. *ὁ στίχος ἐκ Σοφῆς Μελανίππης Εὐριπίδου* (483 N.).

1127. *οὐ πεπαίδευμαι κακῶς.*

ἀντὶ τοῦ πεπαίδευμαι, ᾔσκημαι. S (*μεμούσωμαι* et *μουσωθῆναι*).

1129. *τοὺς αὐτοὺς θεοὺς τιμῶντες οὐχ ὁμονοοῦμεν ἀλλήλοις.*

1131. *τοὺς αὐτοὺς ἀγῶνας ἄγομεν, Ὀλύμπια καὶ Πύθια. Ἄλλως. ἐν Πύλαις ἀντὶ τοῦ ἐν Θερμοπύλαις. ἔπεμπον γὰρ εἰς τὴν Πυλαϊκὴν πανήγυριν τοὺς λεγομένους ἱερομνήμονας.*

1132. *εἰ δέον ἐστί μοι μακρολογεῖν.*

1133. *ὡς τῶν Λακώνων χρωμένων συμμάχοις βαρβάροις.*

1135. *ὅλος ὁ ἴαμβος λέλεκται ἐξ Ἐρεχθέως* (363 N.).

1137. *εἶτ᾽ ὦ Λάκωνες: εἰς σύμβασιν αὐτοὺς καὶ φιλίαν προτρεπομένη ἄρχεται αὐτοὺς ὑπομιμνήσκειν, ὧν ἦσαν ἐξ ἀλλήλων εὖ πεπονθότες. οἱ μὲν γὰρ Ἀθηναῖοι καταπονουμένους αὐτοὺς ὑπὸ Μεσσηνίων διέσωσαν, οἱ δὲ Λακεδαιμόνιοι καθεῖλον τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα βοηθοῦντες Ἀθηναίοις.*

1138. *ταῦτα καὶ οἱ συντεταχότες τὰς Ἀτθίδας ἱστοροῦσιν περὶ τῶν Λακεδαιμονίων· ὁ δὲ Φιλόχορός φησι καὶ τὴν ἡγεμονίαν τοὺς Ἀθηναίους λαβεῖν διὰ τὰς κατασχούσας τὴν Λακεδαίμονα συμφοράς. στρατηγὸς Λακεδαιμονίων.*

1141. *σημαίνει, ὅτε πόλεμος ἦν αὐτοῖς πρὸς Μεσσηνίους.*

1142. *σείων μέγα, ὁ Ποσειδῶν. σεισμοὶ γὰρ συχνοὶ ἐγένοντο, ὅτε ὁ πόλεμος συνειστήκει.*

1144. *Κίμων: μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ιβ᾽ ἔτει ὕστερον. ταῦτα ἦν ἐπὶ Θεαγενίδου. καὶ γὰρ τοῦ Ταϋγέτου τι παρερράγη ὑπὸ τῶν σεισμῶν καὶ τὸ ᾠδεῖον καὶ ἱερὰ καὶ οἰκίαι πλεῖσται, καὶ Μεσσήνιοι ἀποστάντες ἐπολέμουν καὶ οἱ εἵλωτες ἐπέστησαν, ἕως Κίμων ἐλθὼν διὰ τὴν ἱκετηρίαν ἔσωσεν αὐτούς.*

1148. *ὡς πρὸς γυναῖκα. λέγει δὲ τὴν γῆν τῆς Ἀττικῆς λιπαρὰν εἶναι.*

1149. *ἀφήσειν τῆς μέμψεως οἴει.*

1131 Tim. 125 EM 468, 50 Bk 266 Harp., unde schol. Nub. 623, S Phot.

1 *ἄν σοι δῴη ἤ* R corr Wil 6 *ἀλλήλαις* R 1131 et 1135 continuantur in R corr Nauck. 10 *εἰς δέον ἐστὶ μὴ μ.* R corr Dind. 17 *Ἀθηναίους* R 22 *ὅτε* P (refer ad *τότε*): *ὅτι* R 25 *πλατεαῖς* R 26 *παρρεράγη* R 27 *ᾧδιον* R corr Dind. *ἕτερα* R corr Wil

1152. *καὶ γὰρ τῶν Θετταλῶν οἱ πλεῖστοι ἐβοήθουν Ἱππίᾳ.*

1153. *ἱππικούς: Ἀριστοτέλης* (395 R.) *φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχίμολον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες Κλεομένῃ τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ, καὶ νικήσας τους Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελαργικὸν τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἐάλωσαν.*

1157. *ἀγαθωτέραν.*

1162. *ἡμεῖς θέλομεν, ἐάν τις ἡμῖν θελήσῃ ἀποδοῦναι τὸ ἔγκυκλον, τουτέστιν τὴν Πύλον, διὰ τὴν τῶν τειχῶν περιβολήν.*

ἀπὸ μεταφορᾶς τῶν περιβολαίων. τουτέστιν, ἣν ἔχομεν καὶ περιβαλλόμεθα. S.

1164. *ἀντὶ τοῦ ψηλαφῶμεν καὶ ἐπιθυμοῦμεν.*

1166. *ἀντὶ τοῦ οἰκήσομεν.*

1169. *ταῦτα οἱ Λακεδαιμόνιοι ἐδόκουν οὐκ ἐπιτηδείως ἔχειν. ἔστι δὲ ὁ Ἐχινοῦς κόλπος. λιμήν ἐστιν ὄπισθεν τοῦ Ἐχινοῦντος.*

1170. *σκέλη τόπος οὕτω καλούμενος τῆς Μεγαρίδος. σημαίνει δὲ καὶ τὸ κακέμφατον. οἱ δὲ τὰ Μεγαρικὰ τείχη.*

1171. *ὦ μαινόμενε.*

1173. *ἀπαλλαγεὶς τοῦ πολέμου γυμνὸς βούλομαι γεωργεῖν, ἀντὶ τοῦ θέλω τὴν εἰρήνην.*

1174. *ἀντὶ τοῦ κόπρον ἄγειν πρῶτον, ὡς μὴ εὐπορούντων αὐτῶν ἀροσίμης γῆς. ὡς „τέμενος μέγα κοπρήσοντες“ (ρ 299).*

1176. *δρᾶν ταῦτα: τὰ τῆς γεωργίας.*

1180. *κατ᾽ ἐρώτησιν.* 1181. *τοῖς ἐμοῖς.*

τοὺς Καρυστίους ὡς μοιχοὺς κωμῳδοῦσιν. ἦσαν δὲ Ἀθηναίων σύμμαχοι.

1152 S *κατωνάκη* 1153 cf. Herodot. V 62—65 1162 S *τοὔγκυκλον* 1164 S *βλιμάζειν* schol. Av. 530, unde EM 200, 37 1171 S *λυσσάνιε* Phot. Hes. 1174 cf. etiam Poll. VII 134

1 *καὶ γὰρ καὶ τῶν Θ.* S 2 sic lemm in R, qui in textu *ἐππίους* 6 *Ἀγχίμολον*: hinc corrigendum Her. V 63 *Ἀγχιμόλιον* Wil 7—8 ‚repetitum subiectum *Λάκωνες* et verbum *ἐξέπεμψαν* docet Aristotelis verba concisa esse ab epitomatore' Wil 9 hinc corrigendum Her. V 65 *Πελασγικῷ τείχει* Dind. 26 *κοπρήσαντα* R corr Wil

1184. *ἀντὶ τοῦ ὧν εἴχομεν ἐδεσμάτων ἐν τῇ κίστῃ.*

1189. *πορφυρῶν περιβολαίων. ἀποκοπή ἐστιν τοῦ ἄλλου χοροῦ, ὡς παρ᾽ Εὐπόλιδι ἐν Κόλαξι.*

1194. *χρυσοφοροῦσι γὰρ αἱ κανηφόροι.*

1200. *τὰς σφραγῖδας· ἐκ πηλοῦ γὰρ ὑπῆρχον.*

1201. *παίζουσα λέγει, μηδὲν εἶναι ἔνδον. περιβλεπόμενος δέ, φησίν, οὐδὲν εὑρήσει.*

1202. *εὖ ἐσφραγίσθαι, ὅσα εὑρίσκει ἔνδον.*

1203. *εἰ δέ τινι.* 1206. *ἀντὶ τοῦ πυροὺς ὑποκοριστικῶς.*

1208. *μέγας.* 1211. *θυλάκους. πλέγμα δεκτικὸν ἄρτων.*

1212. *ὁ δοῦλος.* 1213. *γέλωτος χάριν.*

1216. *ἐπικωμάζει λαμπάδα ἔχων. δεῖ δὲ νοεῖν, ὅτι πρὸς τὴν θυρωρὸν λέγει.*

1218. *τὸ πρᾶγμα, τὸ ὑμᾶς καῦσαι. ὑμῖν: τοῖς θεαταῖς. τελειώσομεν τὸ δρᾶμα. φορτικὸν μέν ἐστι τὸ εἰσελθεῖν εἰς τὴν σκηνὴν μετὰ λαμπάδος καὶ καταφλέξαι τινά· εἰ δὲ βούλεσθε, ὦ θεαταί, καὶ τοῦτο ποιήσομεν προσχαριζόμενοι ὑμῖν.*

1222. *ἀντὶ ⟨τοῦ⟩ τὸν ἐγκέφαλον ἢ τὰς τρίχας καιομένας.*

1225. *ἐξέρχεταί τις τῶν Ἀθηναίων ἀπὸ τοῦ συμποσίου.*

1227. *σκώπτει τοὺς Ἀθηναίους, ὅτι νήφοντες μὲν κακῶς βουλεύονται, μεθύοντες δὲ καλῶς διαπράττονται.*

1237. *ἀρχή τινος σκολίου „παῖ Τελαμῶνος αἰχμητά“, περὶ οὗ δεδήλωται ἤδη.* K(B). *ὁ ⟨δὲ⟩ νοῦς, ὅτι τὰ ἐναντία λέγομεν ἑαυτοῖς καὶ πράττομεν. ὅταν γάρ τις ᾄσῃ ἀπὸ τῶν σκολίων Πινδάρου, λέγομεν, ὅτι δεῖ μᾶλλον ᾄδειν ἀπὸ Κλειταγόρας τῆς ποιητρίας· ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Λαναΐσιν Ἀριστοφάνης* (261 K.).

1239. *τουτέστιν συνήχθησαν πάλιν. ἦν γὰρ ὁ θεράπων διασκορπίσας αὐτοὺς τῇ λαμπάδι.*

1242. *πιθανώτερόν ἐστιν, Βοιωτὸν αὐτὸν εἶναι. ἀλλὰ γὰρ ἐν τοῖς πρέσβεσιν οὐδαμοῦ παρέδωκεν, ὅτι καὶ ἕτεροι παρῆσαν. γυναῖκες μὲν γὰρ ἐληλύθασι καὶ Κορίνθιαι καὶ Βοιώτιαι ἐπὶ τῆς πρεσβείας.*

1189 cf. Kock. I p. 296 1200 Phot. *ῥύπον* Poll. X 59 1211 S *σάκος* Bachm. I 268 Eust. 1446, 4; 1534, 47 1237 S *Κλειταγόρα*

1202 in R ante 1200 corr Wil 8 ‚fort. *εὑρήσει* vel *εὑρίσκεται*' Enger. 14 *ὑμῖν — δρᾶμα* continuantur in R, distinxi 18 *τοῦ* add e K 22 *Αἶαν αἰχμητά* Athen. XV p. 659 C 23 fort. in schol. Ach. 980 nunc mutilato *δὲ* add e K 25 *δέον* R corr Dind.

οὐ λέγει δὲ Λάκων, ἀλλὰ Λάκωνας. ἀπίθανον δέ ἐστιν, μὴ παρεῖναι τοὺς παραληψομένους τὴν Βοιωτίαν καὶ τὴν Κορινθίαν. ἡ μὲν ⟨γὰρ⟩ Λαμπιτὼ εἰς Λακεδαίμονα ᾤχετο.

1242. *τοὺς αὐλούς, ἀπὸ τοῦ φυσᾶν.*

1243. *διποδιάξω: τοῖς δύο ποσὶν χορεύσω. εἶδος δὲ ὀρχήσεως ἡ διποδία, ἧς μέμνηται καὶ Κρατῖνος ἐν Πλούτοις* (162 K.) *„ἄρξει γὰρ αὐτοῖς ἡ διποδία καλῶς“.*

1244. *ἀντὶ τοῦ Ἀθηναίους.* S (*διποδία*). 1245. *τοὺς αὐλούς.*

1247. *ἄρχεται τῇ ἰδίᾳ διαλέκτῳ [τοὺς αὐλοὺς φυσᾶν] ὁ Λάκων. ἀντὶ ⟨τοῦ⟩ ὄρμησον, ὦ Μνημοσύνη, τῷ ἐφήβῳ τὴν σὴν μοῦσαν. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες τὰ μειράκια καὶ τοὺς εὐτελεῖς ἀνθρώπους παρ᾽ αὐτοῖς. ⟨λείπει δὲ ἡ εἰς πρόθεσις, εἰς τοὺς κυρσανίους⟩. ἀντὶ τοῦ μέλλοντας ὀρχεῖσθαι.*

1249. *μοῦσαν.* 1250. *τοὺς Ἀθηναίους.*

1251. *ἄκρα ἐστὶν Εὐβοίας τὸ Ἀρτεμίσιον, ἔνθα ἐπολέμησαν τῷ Ξέρξῃ ⟨οἱ⟩ Ἀθηναῖοι.*

1252. *τὸ πλῆρες θεοείκελοι ἐμάχοντο, θεοῖς ὅμοιοι προέκρουον καὶ ἐμάχοντο.*

1253. *ποττὰ καλά: πρὸς τὰ πλοῖα.*

1254. *Λεωνίδας στρατηγὸς Λακεδαιμονίων.*

1255. *ὥσπερ ⟨τοὺς⟩ κάπρους· συνεβοήθουν γὰρ κατὰ Περσῶν τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι.*

1257. *πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ „πολλὸς δ᾽ ἀφρὸς ἦν περὶ στόμα“. καὶ Σοφοκλῆς* (1016 N.). *Αἰσχύλος* (372 N.) *δὲ „ἀφρὸς βορᾶς βροτείας ἐρρύη κατὰ στόμα“. ἀντὶ ⟨τοῦ⟩ ἤνθει.*

1259. *ἔπαιξεν. ἐπὶ δειλίᾳ δὲ αὐτοὺς κωμῳδεῖ ὡς ἐναφιέντας.*

1260. *ἦσαν γὰρ οἱ Πέρσαι οὐκ ἐλάσσονες τῶν ψάμμων.*

1262. *θηροκτόνε.* 1263. *παρθένε θεά.*

1269. *τῶν πανούργων ῥητόρων.*

1243 S *διποδία* Hes. 1245 Hes. *φυσαλλίδες: φυσητήρια, αὐλοί* 1247 S *κυρσάνιε* Phot.

1 *Λάκωνας* corrupt. ‚latet idem quod in *πολυχαρίδας* latet' Wil 3 *γὰρ* add P 7 *ἡ* delet Dind. 9 *ἰάδι* R corr Giese, de dialecto Aeolica p. 316 *τοὺς αὐλοὺς φυσᾶν* seclusit Duebn. (‚fortasse ex superiori glossa irrepserunt vel ex *παρεπιγραφῇ, τοὺς αὐλοὺς φυσᾷ* (*πολυχαρίδας* ille)') 12—13 *λείπει — κυρσανίους* add e K 13 R in initio scholii 16 *οἱ* add e K 20 *στρατ. Λακ.* in R etiam sch. interl. 21 *τοὺς* add P *κάρπους* R 23 *πολὺς* R corr Porson. 25 *ἐρρυηκότα* R corr Porson. 1259 et 1260 continuantur in R, distinxi 26 *ἐνεφιέντας* R

1274. *παραδίδωσι λοιπὸν μετὰ ταῦτα τοῖς μὲν Λάκωσι τὰς Λακαίνας, τοῖς δὲ Ἀθηναίοις τὰς ὁμοφύλους.*

1276. *ἐπ' εὐτυχίαις.*

1281. *ἀπὸ Διδύμων τῆς Μιλήτου τόπου Διδυμαῖος Ἀπόλλων καλεῖται. ἢ ὅτι δύο εἰσὶ χοροί, ὁ τῶν Λακώνων καὶ ὁ τῶν Ἀθηναίων.*

1283. *μετὰ τῶν βακχῶν. βλέπει.*

1285. *ἀντὶ τοῦ φλέγοντα διὰ τῶν κεραυνῶν.*

1286. *ὑμνήσατε. Ἥραν. ⟨ἢ⟩ τὴν Ἀριάδνην.*

1287. *ἄλλους. καὶ τοὺς ἄλλους θεοὺς κάλεσον.*

1289. *τῆς εἰρήνης.*

1294. *ἀλαλαὶ ἰὴ παιήων: ἐπιφώνημα χοροῦ.* S.

1296. *ἐπὶ νεώτερα πράγματα νέαν μοῦσαν.*

1297. *ἐκλιποῦσα.* 1298. *μοῦσα.*

1299. *κλείουσα καὶ ὑμνοῦσα.*

1300. *ἔστι χαλκιοίκου Ἀρτέμιδος ἱερὸν ἐν Λακεδαίμονι. ἢ Ἀθηνᾶς. διχῶς ἀνάσσαν. Ἀθήνην. χαλκίοικος δὲ ἡ Ἀθηνᾶ τιμᾶται ἐν Σπάρτῃ.*

1301. *ἀγαθούς.* 1302. *παίζουσιν.*

1303. *ἄγε. ἐπίφθεγμα παρακελευστικόν.*

1306. *ἥτινι οἱ χοροὶ τῶν θεῶν μέλουσιν.*

1308. *ἥ τε, ὅπου. ἢ ὡσεί τε, ὥσπερ.*

1310. *λείπει τὸ κτύπον.* 1311. *ἀνακονιοῦσαι.*

1313. *ὥσπερ αἱ τῶν βακχῶν. ἀντὶ τοῦ θυρσαζουσῶν καὶ παιζουσῶν, παρὰ τὸ δονεῖν τοὺς θύρσους.*

1316. *παραπλέκετε, ποικίλλετε. ⟨ἢ⟩ ἀντὶ τοῦ σκέπασον τῇ ἄμπυκι.*

1317. *οἷον πήδα.* 1318. *ὡς ἔλαφος.*

1319. *ποιεῖτε κρότον τὸν ὠφελοῦντα τὸν χορόν.*

1320. *καὶ τὴν θεὸν Ἀθηνᾶν.*

1300 schol. Eur. Troad. 1112 *τρίχας* Phot. Hes. Eust. 1280, 51 1316 S *παραμπυκίζεται, παραπλέκεται τὰς*

4 *Διδύμου* R corr Bl *Μελίτου* R 9 *ἢ* add P 1297 et 98 continuantur in R distinxi 15 *κλείουσαι καὶ ὑμνοῦσαι* R corr P 16 *ἔστι* Wil e sch. Eur.: *οὕτω* R 22 *ἢ τε, ὅπου. ἢ ὡς εἴτε ὥσπερ* R corr Enger. 23 *ἀνακινοῦσαι* R corr Bl 24 *θυραζουσῶν* R 26 *ἢ* addidi e K 28 *πηδᾶν* R

ADDENDA.

cap. I: Opusculum meum dum publici iuris faciebam, in lucem prodiit dissertatio Guilelmi Meiners: ‚quaestiones ad scholia Aristophanea historica pertinentes'[1]). At nihil habeo, quod perlecto hoc libro in meis mutata velim; compluria autem, cum dis aequis nuper inventus sit Aristotelis liber, *πολιτεία Ἀθηναίων*. Atque corrigenda sunt haec:

cap. I p. VI: in fine cap. 19 Aristoteles dicit, Athenis tyrannos fuisse per undequinquaginta annos; scholiastes igitur (qui *μα'*) Aristotelem ipsum inspexisse non videtur; neque quae de *κατωνάκῃ* profert, ex *πολιτείᾳ* sumpta sunt.

cap. I p. VII: scholia 421 et 409 non ex Philochoro, sed ex Aristotele originem trahunt; cf. ejus cap. 29. In re autem tractata Aristoteles prorsus cum Philochoro congruit (cf. p. VIII adn. 1).

schol 665: haec de Pisistrati custodibus non leguntur apud Aristotelem. Ex alio igitur auctore hausta sunt, fortasse ex eodem, e quo illud de *κατωνάκῃ* frustulum (ex Theopompo?).

schol. 666: Aristoteles in fine cap. 19: *καὶ τειχίσαντες ἐν τῇ χώρᾳ Λιψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνεξῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεως* etc.

schol. 1153: recte Wilamowitzium de scholio iudicasse, docet totum cap. 19 Aristotelis, qui praeterea *Ἀγχίμολον*, ut R, exhibet.

Ad schol. 1110 dico: frustulum e Suida additum iidem Apollodoro deberi cui scholia 447, 645, 439, 388, 588, Wilamowitz me monuit.

[1]) cf. dissertatt. philol. Halenses XI p. 217 sqq., Halis Sax. 1890.

VITA.

Natus sum Gustavus Stein Brunsvigae a. h. s. LXVI die VIII. mens. Octobr. patre Augusto matre Georgina e gente Winckel, quos ambo morte ereptos valde lugeo. Fidei adscriptus sum evangelicae. Primis litteris imbutus autumno a. 1875 gymnasium Brunsvicense adii, quod auspiciis florebat Theodori Gravenhorst, nunc floret Alfredi Eberhard viri humanissimi. Autumno anni LXXXV maturitatis testimonium nactus Bonnam migravi, ut philologicis studiis operam darem. Post duo semestria Gottingam me contuli.

Docuerunt me viri doctissimi Buecheler, Dove, R. Kekulé, Nissen, Schwartz, Usener Bonnenses, Dilthey, Gercke, Heyne, de Kluckhohn, Lange, Leo, Guil. Meyer, G. E. Mueller, Roethe, Sauppe, Volquardsen, Weiland, de Wilamowitz Gottingenses. Ad exercitationes philologicas Leo et de Wilamowitz, ad archaeologicas Dilthey et Kekulé, ad historicas Nissen, de Kluckhohn, Volquardsen, Weiland benigne aditum mihi permiserunt.

Regii philologorum proseminarii sodalis fui per tria semestria, per idem tempus seminarii, paedagogici per duo.

Omnibus illis viris qui me docuerunt, iustas ac debitas habeo gratias, imprimis Udalrico de Wilamowitz, qui quanta erga me fuerit benevolentia nunquam obliviscar.

Altenburgi. Typis officinae aulicae Piererianae (St. Geibel et Soc.).